CORPUS
SCRIPTORUM HISTORIAE
BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE

BORUSSICAE

CONTINUATA.

HISTORIA POLITICA ET PATRIARCHICA CONSTANTINOPOLEOS. EPIROTICA.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXLIX.

HISTORIA

POLITICA ET PATRIARCHICA

CONSTANTINOPOLEOS.

EPIROTICA.

RECOGNOVIT

IMMANUEL BEKKERUS.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXLIX.

ΙΣΤΟΡΙΑ ΠΟΛΙΤΙΚΗ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

ΙΣΤΟΡΙΑ ΠΟΛΙΤΙΚΗ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ἀπὸ τοῦ ͵ατϟα' ἕως τοῦ ͵αφοη' ἔτους Χριστοῦ.

HISTORIA POLITICA
CONSTANTINOPOLEOS

a 1391 usque ad 1578 annum Christi,

Latina a Martino Crusio, Tubing. professore, facta.

Turcograeciae 1

Βασιλεύοντος τῆς Κωνσταντινουπόλεως τοῦ βασιλέως Ῥωμαίων κυρίου Μανουὴλ τοῦ Παλαιολόγου, κατὰ τὸ ἑξακισχιλιοστὸν ἐννακοσιοστὸν ἔτος, ἡ μὲν δύναμις τῆς πόλεως ταύτης ἠλάττωτο, ἡ δὲ τῶν Ἀγαρηνῶν ηὔξανε καὶ ἐπληθύνετο κρίμασιν οἷς οἶδε θεός. ὅθεν ὁ κυριεύων οὗτος βοηθείας δεόμενος δεῖν ἔκρινεν εἰς Ἰταλίαν καταφυγεῖν καὶ δεηθῆναι τοῦ πάπα καὶ τῶν ἐκεῖ ἀρχόντων τοῦ λαβεῖν τινὰ βοήθειαν καὶ ἀποδιῶξαι τὸ ἐλευσόμενον καὶ προορώμενον κακόν. ἀπελθεῖν δὲ βουλόμενος ἀφῆκε τοποτηρητὴν αὐτοῦ τὸν κύριον Ἰωάννην τὸν ἀνεψιὸν αὐτοῦ, οὗ δὴ τὸν πατέρα Ἀνδρόνικον

Imperante apud Constantinopolitanos Romano rege Manuelo Palaeologo (qui tunc annus mundi sexies millesimus et nongentesimus erat) urbis huius vires diminutae erant, Agarenorum autem potentia, nescio quo dei iudicio, subinde in maius crescebat. quapropter ille rex, opis indigens, ad Italiam sibi confugiendum iudicavit, et pontificem maximum Italosque principes auxilii alicuius ad malum adventans, quod praevidebatur, propulsandum impetrandi causa appellandos. cum itaque profectionem adornaret, loco suo interea imperio gubernatorem reliquit Ioannem, suum e fratre nepotem, cuius patrem Andro-

ὁ πάππος ἐξετύφλωσε διὰ τὸ νεωτερίσαι καὶ τὰ πέριξ πολλὰ κακοποιῆσαι συνοπαδὸν καὶ σύμψηφον κτησάμενον Μουσᾶν τζελεπῆν υἱὸν τοῦ σουλτάνου Ἀγαρηνῶν, ὃν καὶ ὁμοίως συλληφθέντα, τοῖς αὐτοῖς ἐνεχόμενον, ὁ ἴδιος πατὴρ ἀπέκτεινε, τιμωρησάμενος καὶ οὗτος τὸν τοιοῦτον τῆς τόλμης.

Καταπλεύσαντος δὲ τοῦ βασιλέως τούτου καὶ εἰς Ἰταλίαν ἀπελθόντος καὶ πολλὰ δεηθέντος, ὑπέσχετο μὲν αὐτῷ ὅ τε πάπας καὶ οἱ λοιποὶ δοῦναι βοήθειαν, οὐκ ἔδωκαν δὲ ὡς τὰ τέλει ἔδειξε, προφασισάμενοι ὅτι ὁ βασιλεὺς οὗτος ἐν μιᾷ τῶν ἑορτῶν οὐ κατεδέξατο προσκυνῆσαι τὸ ὑπομάνικον τῆς δεξιᾶς τοῦ χωρεπισκόπου, ὑφαντῶς ἐπάνω κοσμούμενον τὴν εἰκόνα Χριστοῦ. ὅθεν ὁ πάπας λαβῆς τυχὼν ἔγραψε πᾶσι τοῖς Ἰταλοῖς "βασιλεῖ Ῥωμαίων, μὴ καταδεξαμένῳ προσκυνῆσαι τὴν εἰκόνα Χριστοῦ, ὅστις βοηθήσει, ἔσται ἀσυγχώρητος." τὰ τοιαῦτα δὲ ἐνωτισάμενος ὁ μεγάλαις τρεφόμενος ταῖς ἐλπίσιν ἀνεχώρησεν ἐξ αὐτῶν καὶ εἰς Βενετίαν προσέδραμε, διαπραξάμενος οὐδὲν ὧν χάριν κατῆλθε καὶ ἐδεήθη ὁ χριστιανικώτατος οὗτος βασιλεύς.

Ἐν τούτοις δὲ ὄντος, καὶ ἀκούσαντος ὅτι ἐτελεύτησεν ὁ σουλτὰν Μεχεμέτης ὁ υἱὸς σουλτὰν Μπαγιαζίτου τοῦ Ἰλτι-
2 ρίμ, καὶ ἔλαβε τὴν ἡγεμονίαν ὁ τούτου υἱὸς σουλτὰν Μουράτης, ὃς εἶχε καὶ ἀδελφὸν Μουσταφᾶν, ἀνῆλθε, καὶ τὴν

nicum avus caecaverat, quod novis rebus studens passim finitimis locis damna intulisset, ad id comite socioque usus Musa Zelepe, Agarenorum regis filio; quem item pater suus, ut parium facinorum reum, comprehensum, de suscepta audacia puniens, interfecerat.

Cum igitur imperator Manuelus nave conscensa in Italiam pervenisset de subsidioque magnopere sollicitasset, promisit quidem id ei pontifex ceterique proceres: sed praestitum non fuit, sicut exitus declaravit. causa praetexebatur, Manuelum die quodam festo venerationem imaginis crucifixi Christi, in dextera manica chorepiscopi intextae, recusasse. unde causa pontifex arrepta Italis omnibus scripsit, quicunque imperatori Graeco, qui noluisset imaginem Christi adorare, auxilium ferret, eum a sacrorum communione sine venia exclusum iri. quibus ille auditis, qui magna spe pastus fuerat, ab eis discessit Venetiasque cucurrit. sed nec ibi quicquam eorum impetravit ob quae venerat, quae necessitate compulsus petiverat, Christianae pietati deditissimus imperator.

1419 Cum in his esset, audito mortuum esse regem (sultanum vocant) Mechemetam, qui Baiazita, cognomento Iltirimo, natus erat, illique in regno successisse filium Muratam, cui frater erat nomine Mustaphas, a peregrinatione illa Cpolim, nihil eorum consecutus propter quae exi-

Κωνσταντίνου, ἄπρακτος ὢν κατῆλθε, κατέλαβε. συνέβη δὲ ὅτι ὁ Μουσταφᾶς οὗτος ἔφυγε καὶ εἰσῆλθεν ἔνδον τῆς πόλεως, καὶ ὑπεδέξαντο αὐτὸν ἀσπασίως οἱ ἐν τῇ πόλει, καὶ δέδωκαν αὐτῷ εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Ντόρια εὐγενοῦς τινὸς Γενουβίτου, ἥτις ἦν ἐγγόνη τοῦ βασιλέως τούτου Μανουήλ· ἡ γὰρ ἐκ πορνείας αὐτῷ θυγάτηρ Ζαμπία ἔτεκεν αὐτὴν συναφθεῖσα τῷ Ντορίᾳ τούτῳ γνώμῃ βασιλικῇ. ὠνόμασαν δὲ ταύτην, τὸ καινὸν συνοικέσιον ποιήσαντες, κυρὸν τῆς ἀνατολῆς, ξένῳ ὀνόματι καὶ ἀθλίῳ. διαπεράσαντες γὰρ αὐτὸν οἱ Βυζάντιοι ἐν ἀνατολῇ μετὰ στρατιωτῶν καὶ δορυφορίας, ὑπέκυψαν αὐτῷ πολλοί· καὶ κάστρα καὶ χώρας ἔλαβε καὶ ἐκαθέζετο ἐν τῇ Προύσῃ. πληροφορηθεὶς δὲ ταῦτα ὁ τούτου ἀδελφὸς σουλτὰν Μουράτης ἀπὸ Καλλιουπόλεως κρυφίως διεπέρασεν εἰς Προῦσαν, καὶ καταλαβὼν τὸν Μουσταφᾶν τοῦτον ἐν βαλανείῳ λουόμενον, μεθύοντά τε καὶ σπαταλῶντα, εἰσπηδήσας αἴφνης αὐτὸν ἀπέπνιξε, καὶ οὕτως ἐκυρίευσε δύσεως καὶ ἀνατολῆς. ὠργίσθη δὲ τοῖς Βυζαντίοις καὶ ἐκάκου παντοιοτρόπως, καθ' ἑκάστην ἁρπάζων καὶ λεηλατῶν τὰ πέριξ καὶ ὅσα ἔμειναν ἔτι καὶ ἦσαν τῆς ἀθλίας πόλεως. παρακαθήμενος δὲ ἔμεινε τριετίαν ὡς θηρίον δεινόν, μὴ ἀμελῶν τὰ κατὰ δύναμιν· ὅμως οὐδὲν ποιῆσαι ἠδυνήθη. λοιπὸν δὲ λοιμῷ καὶ λιμῷ περιπεσόντων ἑκατέρωθεν παρῃτή-

8. κενὸν C

verat, rediit. venerat hic Mustaphas profugus in eandem urbem ibique benigne exceptus fuit; cui etiam in matrimonium data est cuiusdam ex nobili familia Genuatium Auriarum filia, neptis regis Manueli. huic enim Auriae nupta erat de voluntate regis spuria huius filia, nomine Zampia, mater illius sponsae. quo inani coniugio facto eam appellarunt dominam Orientis, nomine inusitato inauspicatoque. nam cum Byzantini Mustapham exercitu et satellitibus comitatum in orientem traduxissent, multi quidem se ad eius ductum applicaverunt, ipseque complura castra et oppida cepit, inque civitate Prusa consedit. sed his cognitis frater eius Murata, occulte a Callipoli in Asiam traiectus, Prusam pervenit; ubi Mustapham in balneo lavantem, vino et deliciis languentem, repentino adventu oppressum suffocavit. hoc modo occidentis orientisque dominatum adeptus fuit. infensus autem Byzantinis, quibuscunque potuit maleficiis affecit, nullo die praetermisso quo non rapinas praedasque circumcirca ageret ex miserae urbis, quae parvae restabant, reliquiis. eam etiam triennium obsidens, ad ferocis belluae instar, nullum insultum ad expugnandum sibi reliquum fecit. nihil tamen effecit: Tandem enim, sublatis pestilentia et fame utrinque multis, bello finis, pace et foedere

σαντο πολεμεῖν, καὶ εἰρήνην ἐποιήσαντο καὶ συνθήκας καὶ ὅρκους τοῦ μὴ πορευθῆναί ποτε κατὰ τῆς πόλεως.

Τούτων δὲ οὕτως ὄντων ἐτελεύτησε καὶ ὁ βασιλεὺς οὗτος ὁ Μανουὴλ ὁ Παλαιολόγος, βασιλεύσας ἔτη, ὡς λέγεται, εἴκοσι πέντε, καταλείψας τὴν βασιλείαν τῷ υἱῷ αὐτοῦ κυρίῳ Ἰωάννῃ τῷ Παλαιολόγῳ. ὃς ἔχων γυναῖκα πλουσίαν ἀπὸ Λουμπαρδίας οὐδ' ὅλως ἠγάπησεν αὐτήν, ἄλλαις προσέχων· ὅθεν καὶ πρὸς τὸν ἴδιον ἐπαλινδρόμησε πατέρα, καὶ οὗτος ὡς φυγοῦσαν παρὰ βασιλέως ὅλως ὡς ἔδει φιλικῶς οὐκ ἀπεδέξατο· ἦν δὲ καὶ πόρνος οὗτος ὁ πατὴρ αὐτῆς πολλά, ὡς ἐλέγετο· ὅθεν καὶ τοῦ ἰδίου οὐκ ἐφρόντισε τέκνου, ἀλλ' ὀλιγώρως εἶχε.

Βασιλεύων δὲ ὁ ῥηθεὶς Μουράτης καὶ τοῖς ὅρκοις ἐμμένων, καὶ ὢν ἐν Ἀδριανουπόλει, καὶ βουληθεὶς στρατεῦσαι κατὰ Θεσσαλονίκης, καὶ ἀξιωθεὶς παρὰ τοῦ βασιλέως τούτου
3 Ἰωάννου τοῦ Παλαιολόγου παύσασθαι τοῦ κατὰ τῆς Θεσσαλονίκης πολέμου, ἀπεκρίθη ὅτι εἰ μὲν ὑπῆρχεν, ὦ φίλε, τῆς βασιλείας σου νῦν ὑποτεταγμένη, οὐκ ἂν ἐπορεύθην· ἐπεὶ δὲ ἔστι τῶν Βενετίκων, πορεύομαι κατ' αὐτῆς, ὅπως, ἢν θεὸς θέλῃ, πορθήσω καὶ δουλώσομαι ταύτην. ὑπῆρχε δ' αὕτη ἡ Θεσσαλονίκη πρὸ καιροῦ τῶν Βενετίκων, ὡς ταύτην ἀπεμπολήσαντος Ἀνδρονίκου τοῦ υἱοῦ Μανουὴλ τοῦ Παλαιολόγου, ὃς ἔσχεν υἱοὺς ἕξ, Ἰωάννην, Θεόδωρον, Κωνσταντῖνον, Ἀνδρόνικον, Δημήτριον καὶ Θωμᾶν, πᾶσι δὲ ἔδωκε τόπους εἰς διατροφήν· ὅθεν

iureiurando firmatis nunquam amplius urbem oppugnatum iri, factus est.

1421 Hoc rerum statu ita se habente finem etiam vivendi imperator Manuelus Palaeologus fecit, postquam imperio, ut fertur, annos viginti quinque praefuisset, relicto successore filio Ioanne. habebat hic divitem uxorem ex Insubria: sed amoribus aliarum deditus prorsus non amabat hanc. indignata itaque ad patrem suum rediit; qui, ut a rege fugitivam, minime ea caritate qua debuit excepit. dicebatur autem ipsum etiam multum meretriciis amoribus indulgere; quae causa fuit ut suos liberos curae non habuerit.

Cum ita, ut diximus, regnaret Murata et in foedere Graecorum maneret, atque Adrianopoli vivens expeditionem adversus Thessalonicam agitaret, rogatus fuit ab imperatore Ioanne, desisteret a bello Thessalonicensibus inferendo. cui ipse "si esset" inquit "illa civitas regno tuo subiecta, abstinerem, amice, hac expeditione. quia vero dicionis Venetorum est, ibo contra, et deo bene iuvante expugnatam mihi subiiciam." facta fuerat illa ante tempus Venetorum iuris, vendita ipsis ab Andronico Palaeologo, Manueli filio. habuit enim hic sex filios, Ioannem Theodorum Constantinum Andronicum Demetrium

καὶ τῷ δυστυχεῖ Ἀνδρονίκῳ τὴν Θεσσαλονίκην, ὃς πεσὼν τῷ πάθει τῆς ἐλεφαντιάσεως ἐπώλησεν αὐτὴν τὴν περιφανῆ Θεσσαλονίκην διὰ χιλιάδας χρυσίνων πεντήκοντα, ἐξ ὧν τὰ μὲν τοῖς κόλαξιν ἐδωρήσατο τοῖς μετ' αὐτοῦ, τὰ δὲ μείναντα λαβὼν ἀπῆλθεν ἔν τινι μοναστηρίῳ τοῦ ἁγίου ὄρους, καὶ ἐκεῖ τὸ ζῆν ἐξεμέτρησεν.

Ἀπελθόντος οὖν κατὰ Θεσσαλονίκης τοῦ σουλτὰν Μουράτη τούτου καὶ πολιορκήσαντος αὐτήν, ἐκυρίευσε ταύτης πολέμῳ, ἀπέκτεινε δὲ πλῆθος Γραικῶν, οἵτινες ἀντέστησαν αὐτῷ ὅλως προσκυνῆσαι μὴ βουληθέντες, εἰ καὶ πολλὰ ὑπισχνεῖτο αὐτοῖς. οἱ δὲ Λατῖνοι ἔφυγον κρυφίως, γυναικῶν δίκην, ὀλίγοι ὄντες. ἔπαθον δὲ οἱ αὐτόχθονες Θεσσαλονικεῖς πολλὰ δεινά, φόνους, αἰχμαλωσίας, τὴν ἐκ τόπου εἰς τόπον ἀπεμπόλησιν, τὸν χωρισμόν, τὸν ἐν ἀνατολῇ καὶ δύσει σκορπισμόν, τὴν ἀποβολὴν τῆς φίλης πατρίδος καὶ ἄλλα ὅμοια, θηρίων ἀγρίων ἐπικειμένων τῶν ἀσεβῶν αὐτοῖς.

Δουλώσας δ' οὐ μόνον Θεσσαλονίκην ἀλλὰ καὶ τὰ πέριξ αὐτῆς ἔτει ͵ϛϡλζ' ἀπὸ κτίσεως κόσμου, Σερβίας φημί, Βουλγαρίας τῆς γείτονος καὶ ἄλλων πολλῶν (ὡς θεοῦ παραχωροῦντος ἐκ τῶν ἁμαρτιῶν ἡμῶν καὶ οὐδενὸς ὄντος τοῦ κωλύοντος, ἀλλ' ἐρήμην διώκοντος καὶ πολεμοῦντος οὐδενὸς ἀν-

et Thomam; quibus singulis certa loca, unde vitam sustentarent, assignavit. infelici itaque Andronico Thessalonicam, qui in lepram, quam elephantiasin vocant, delapsus illam illustrem urbem quinquaginta milibus aureorum vendidit. de quibus parte suis adulatoribus donata, cum reliquo in quoddam sancti montis monasterium abiit; ubi vitae cursum emensus obiit.

Profectus cum exercitu rex Murata Thessalonicam oppugnavit, eamque vi cepit, magno numero Graecorum occiso: noluerant enim ullo modo deditionem facere quamvis magna pollicito, sed ad extremum usque spiritum restiterant. at Latini, qui numero pauci inerant, feminarum modo clam aufugerunt. acciderunt indigenis Thessalonicensibus multa gravissima, caedes, captivitates, in alia ex aliis locis venditiones, carorum inter se distractiones, per Orientem Occidentemque dispersiones, dulcis patriae amissio et alia generis eiusdem, nullo crudelitatis genere ab impiis, ceu ferocissimis bestiis, praetermisso.

Redacta hoc modo in servitutem non tantum Thessalonica, sed aliis passim oppidis (quo tempore annus mundi numerabatur sexies millesimus nongentesimus trigesimus septimus) Serviae atque vicinae Bulgariae et aliarum regionum multarum (dei nimirum concessu, ob punienda peccata nostra, cum, nemine prohibente, nemine armis resistente, nisi paucissimis iisque infirmis, omni praesidio destituta desertaque persequeretur) reversus est, aliorum insuper devorationem

θισταμένου ἢ ὀλίγων πάνυ καὶ ἀσθενῶν) ἐπανῆλθεν, ἀλλὰ καταφαγεῖν μελετήσας ὁ ἄγριος θήρ. πλὴν τῷ φαινομένῳ ἔμενεν εἰρηνεύων, τῇ δ' ἀληθείᾳ καιρὸν ἦν ζητῶν καὶ πρόφασίν τινα.

Ταῦτα δὲ καὶ τὰ ὅμοια ὁ βασιλεὺς σκοπῶν, πῶς ὁ τῆς Ἄγαρ ἄγριος κύων ἐδούλου τὰς πόλεις, τὰς μὲν μετ' εὐλόγου προφάσεως, τὰς δὲ λόγοις κολακείας ψευδέσιν, ἄλλας
4 *δὲ ἐξ ἁρπαγῆς, πάντα λίθον κινῶν καὶ δολιευόμενος, ἀεί τι καταφαγεῖν βουλόμενος, ἐβουλεύσατο ὅπως πορεύσηται ἐν Ἰταλίᾳ καὶ ἐπαναγκάσῃ γενέσθαι ἕνωσιν μετὰ Λατίνων, καὶ οὕτω λάβῃ βοήθειαν μερικὴν καὶ τὸν Ἀγαρηνὸν ἀποδιώξῃ. γράψας οὖν πρὸς τὸν πάπαν, Εὐγένιος ἔστερξε μετὰ χαρᾶς συγκροτηθῆναι τοῦτο καὶ γενέσθαι εἰρήνην καὶ ἕνωσιν, εἰ δυνατόν, πέμψας δαπάνην καὶ πλοῖα χρειώδη. οὐ μόνον δὲ ὁ πάπας ἀλλὰ καὶ οἱ καρδινάλιοι καὶ ἄλλοι ἐπεθύμουν τὴν ἕνωσιν κατορθωθῆναι, ὡς πολλάκις βουληθέντων, κατορθωσάντων δὲ οὐδέν, πολλῶν σκανδάλων ἀναφυομένων. διεμηνύσατο οὖν ὁ βασιλεὺς τοῖς ἀρχιερεῦσι καὶ τοῖς σπουδαίοις καὶ λόγου καὶ μαθημάτων μετόχοις, καὶ ἦλθον ἐν Κωνσταντινουπόλει ὅ τε Τραπεζοῦντος μετὰ τοῦ φιλοσόφου Ἀμυρούτζη, ὁ Νικαίας Βησσαρίων, ὁ Ῥωσσίας, Γεμιστὸς ὁ φιλόσοφος καὶ ἄλλοι λογάδες· καὶ συνάξεως γενομένης μετὰ τοῦ πατριάρχου*

insatiabilis fera animo agitans. attamen speciem quidem praebuit pacem colentis: re autem vera occasionem et causam aliquam quaerebat.

Haec et his similia imperator cernens, quomodo immanis iste Agara ortus canis urbes subigeret, quasdam praetextu speciem habente, nonnullas verbis lenibus et falsis promissis, alias vi atque oppressione, omnem lapidem, ut dici solet, movens, nullum dolum omittens, semper aliquid devorare cupiens, de proficiscendo in Italiam consilium cepit, et constituendo quamlibet difficili cum Latinis religionis consensu, ut hoc modo aliquibus subsidiis comparatis Agarenum propulsaret. qua de re cum ad papam Eugenium scripsisset, huic res auditu iucunda fuit, de conciliogue conflando cogitavit, in quo una ex duabus concors ecclesia efficeretur, si fieri posset. ita-
1439 que et sumptus misit navesque necessarias. nec papa modo, sed etiam cardinales et alii consensionis cupidi erant, quippe quam saepe tentassent, sed nihil profecissent multarum offensionum incursu. significavit igitur imperator dicionis suae principibus sacerdotibus et viris studio literarum deditis eruditionisque laude praestantibus; qui Constantinopolim advenerunt. horum praecipui erant Trapezuntius, philosophus Amyrutza, Nicaeae Bessario, Russiae Isidorus, Gemistus Pletho philosophus, et alii delecti. qui cum ad sa-

κυρίου Ἰωσήφ, ὃς καὶ ἐν Φλωρεντίᾳ ἐτελεύτησε, καὶ λειτουργίας γενομένης ἐν τῷ μεγίστῳ ναῷ τῆς τοῦ θεοῦ λόγου σοφίας ἐμελέτησαν καὶ ἐκύρωσαν ἀποπλεῦσαι, χειροτονήσαντες ἔξαρχον τῆς συνόδου Μάρκον τὸν εὐγενικόν, τὸν Ἐφέσου μητροπολίτην. κατελθόντες οὖν καὶ ἐκεῖ ἀπελθόντες καὶ συνελεύσεις ποιήσαντες καὶ διετίαν ὅλην ἐνδιατρίψαντες ἐποίησαν μὲν ἕνωσιν, ὡς τὰ Πρακτικὰ τῆς ἐν Φλωρεντίᾳ ταύτης λεγομένης ὀγδόης συνόδου λέγει, τέλος δὲ χρηστὸν οὐδέν, ὅλως τοῦ Ἐφέσου μὴ ὑπογράψαντος, ἀλλὰ καὶ λογομαχίας καὶ αὖθις κινησάντων πολλῶν, ὅτε εἰς τὴν Κωνσταντίνου ἐπανῆλθον. ὅθεν οὐδεμία ἐγένετο βοήθεια, ἀλλὰ τὸν Ὕλαν ἔκραζον καιρὸν τόσον.

Ἐπανελθόντων δὲ ἀπὸ Ἰταλίας κατέλαβεν ὁ βασιλεὺς τὴν ἑαυτοῦ φιλτάτην γυναῖκα Μαρίαν τὴν Καντακουζηνὴν οὐκ ἐν ζῶσιν ἀλλὰ τελευτήσασαν πρὸ καιροῦ· καὶ οὕτως οὗτος μὲν ἐν λύπῃ ἦν. οἱ δὲ ἐν τῇ πόλει κληρικοί, ἱερομόναχοι, ἱερεῖς, ἡγούμενοι, πνευματικοὶ καὶ οἱ λοιποὶ οὐκ ἤθελον συλλειτουργῆσαι τοῖς ἐλθοῦσιν ἢ μνημονεῦσαι αὐτούς, ἀλλ' ἐχωρίζοντο αὐτῶν ὡς ἀσεβῶν εἰπεῖν. πολλοὶ δὲ παρῃτήσαντο καὶ τὴν ἱερωσύνην. καὶ γέγονεν ἡ ἕνωσις διαίρεσις. οὕτω δὴ φερομένων τῶν ἐκκλησιαστικῶν ὡς ἔτυχεν, καὶ μὴ ὄντος

8. συνόδου add A

crum faciendum cum patriarcha Iosepho, qui postea Florentiae diem suum obiit, convenissent, liturgia in maximo divini logi sapientiae templo peracta navigare inde decreverunt, exarcho seu inceptore synodi designato Marco Eugenico, Ephesi metropolita. delati in Italiam cum ad Latinos venissent, post plures congressus et integri biennii moram sane unionem seu consensum fecerunt, quemadmodum acta Florentinae huius, quae octava nominatur, synodi perhibent: sed exitu nullo bono, eo quod subscribere recusaret Ephesius, et verborum concertationes, postquam Cpolim rediissent, alias denuo multi sererent. ea causa fuit nullius postea summissi auxilii: sed Hylam, ut proverbio dicitur, tanto tempore clamaverant.

Postquam ex Italia domum reditum fuit, repperit imperator suam, quam summe dilexerat, coniugem, Mariam Cantacuzenam, non amplius in vivis sed ante tempus vita defunctam. ita hic quidem in luctu erat. qui vero in urbe degebant clerici, hieromonachi, sacerdotes, abbates, confessionibus audiendis praepositi (pneumatici dicti) ac ceteri, ii nolebant liturgias et sacra cum illis qui venerant celebrare aut in precibus mentionem ipsorum facere, sed ab eis recedebant, tanquam qui pietatem, ut ita dicam, abiecissent. multi sacerdotio etiam renuntiarunt. denique unitatem divisio, concordiam discordia consecuta est. ad hunc modum iactato temere ecclesiae statu

πατριάρχου διὰ τὸ τελευτῆσαι ἐκεῖ, ἄλλον δὲ προβιβασθῆναι μὴ θέλοντος διὰ τὸ σκάνδαλον (ἦν γὰρ οὐκ ὀλίγον), οὕτως ἔμενον τεταραγμένοι. ὁ Νικαίας δὲ Βησσαρίων καὶ ὁ Ῥωσσίας ἔμειναν ἐν τῇ Ῥώμῃ. καὶ ἐγένετο καὶ καρδινάλιος ὁ Βησσαρίων, τιμὴν καὶ δόξαν δεξάμενος καὶ τὸ ἀσκανδάλιστον ἀσπαζόμενος.

Ἦν δὲ ἐν Κωνσταντινουπόλει τις ἁγιώτατος πνευματικός, λεγόμενος Γρηγόριος ἡ μαμμή, σύντεκνος τοῦ μεγάλου δουκός. ἄραντες οὖν αὐτὸν καὶ μὴ θέλοντα εἰπεῖν ἐποιήσαντο καὶ ἀνηγόρευσαν πατριάρχην· ὃς καὶ τὸ σκάνδαλον αὐξανόμενον ὁρῶν καὶ τὴν ἅλωσιν προλέγων παρῃτήσατο, προειπὼν καὶ τῷ ἰδίῳ συντέκνῳ τῷ μεγάλῳ δουκὶ ὡς οἱ Ἀγαρηνοὶ σφάξουσι τοὺς υἱοὺς αὐτοῦ ἔμπροσθεν αὐτοῦ, ὃ καὶ γέγονεν ὕστερον, ὡς ὁ ἅγιος ἄνθρωπος προεῖπεν.

Ὁ βασιλεὺς δέ, πεσὼν ἐν νόσῳ δεινῇ τῇ τῆς ἀρθρίτιδος, ἔκειτο πάσχων μεγάλως· ὁ σουλτᾶνος δὲ Μουράτης, ὡς κορεσθεὶς πλούτου καὶ δόξης, καταλιπὼν τὴν ἡγεμονίαν πρὸς τὸν υἱὸν σουλτὰν Μεχεμέτην, τὸν ἐν Μαγνησίᾳ διατρίβοντα αὐτὸν μὲν μετεκαλέσατο καὶ ἔστησε βασιλέα, αὐτὸς δ' ὁ πατὴρ σουλτὰν Μουράτης πορευθεὶς ἐν ταύτῃ τῇ Μαγνησίᾳ καὶ ἀνοικοδομήσας ἀνάκτορα ἴδια ἰδίαζεν ἐντὸς τούτων καὶ ἔζη βίον εἰρηνικὸν ὡς γηραιὸς ἔμφρων. ὁ σουλτὰν Μεχε-

et perturbato, cum patriarcha, Iosepho illic mortuo, nullus esset, nemo etiam, propter dissensionem ac confusionem, quae non modica erat, se ad eum honorem produci pateretur, in hac perturbatione manserunt. Nicaeae vero Bessario et Russiae antistes Romae substiterant; ubi in cardinalium ordinem Bessario cooptatus amplissimoque honore affectus concordiam et otium amplexus retinuit.

Erat Cpoli pneumaticus quidam, vitae sanctimonia praestans, nomine Gregorius Mamma, magni ducis compater. hunc arreptum patriarcham fecerunt invitum, ac renitentem renuntiaverunt. sed is dissidium in dies longius serpere videns, expugnationemque urbis praedicens, se munere abdicavit, cum quidem illi ipsi suo compatri praedixisset filios eius in conspectu ipsius ab Agarenis trucidatum iri; quod sancti viri vaticinium ipso posterius eventu comprobatum fuit.

Imperator interea, magnos articulorum dolores habens, graviter afflictus decumbebat. at sultanus Murata, satiatus et expletus opibus ac gloria rerum gestarum, regnum filio Mechemetae, qui Magnesiae commorabatur, destinavit, accersitumque regem constituit. ipse vero Magnesiam profectus proprium sibi palatium aedificavit; in quo privatus placidam et quietam vitam, ut senex pru-

μέτης δὲ νέος ὢν καὶ μείρακος τρέχων ἡλικίαν εἶχε βεζίριδας φρονιμωτάτους τόν τε Χαλιλπασιᾶν καὶ Πρεϊμπασιᾶν, ἀλλ' ὅλως οὐκ ἤκουεν αὐτῶν ἐν οὐδενί, ἐσχολάζετο δὲ κυνηγεσίοις καὶ πότοις. ἀκούσαντες δὲ οἱ τῶν Οὔγγρων ἄρχοντες ὅτι βασιλεύων ἐστὶν ἐν Ἀγαρηνοῖς νέος καὶ ἄπειρος πολέμων, ὥρμησαν κατὰ τῶν Ἀγαρηνῶν. τὸ πλέον δὲ ἐγένετο ἐκ μηνυμάτων τοῦ βασιλέως τῆς πόλεως πρὸς τὸν κράλη καὶ τὸν Ἴαγγον, ὅς ἦν μέγας στρατηγός, εἰπόντος ἐνόρκως τοῦ βασιλέως ὡς ἐὰν δυνηθῇς ἐκβαλεῖν τὸν ἐχθρὸν ἡμῶν ἐκ μέσου, τὸ στέμμα τῆς ἐμῆς βασιλείας θήσω ἐν τῇ σῇ κορυφῇ ὡς ἐλευθερωτὴν τῶν Χριστιανῶν καὶ τῆς πίστεως ἡμῶν στῦλον, καὶ ἕτερα ῥήματα ὅμοια ἐπαναγκάσαντα καὶ πείσαντα αὐτούς. ἔφθασαν οὖν περάσαντες ἐκ τοῦ ποταμοῦ Δάνουβι μετὰ δυνάμεως πολλῆς, λεηλατοῦντες τὰς χώρας καὶ κάστρα τῆς Βουλγαρίας. ὑπέκυψαν οὖν αὐτοῖς σχεδὸν ἅπαντα. κατελθόντες 6
μέχρι Βάρνας αὐτῆς, παρέλαβον δὲ καὶ αὐτήν, τῶν Ἀγαρηνῶν πότῳ καὶ κυνηγεσίοις προσεχόντων βασιλικοῖς· φιλεῖ γάρ, ὡς λέγει τις τῶν παλαιῶν σοφῶν, τὸ ὑπήκοον γνώμῃ τῇ τοῦ ἄρχοντος ἕπεσθαι καὶ βιοῦν. τούτων δὲ οὕτω τηνάλλως φερομένων, ἰδόντες οἱ βεζίριδες ὅτι καταπατηθήσεται πᾶσα ἡ δύσις μετὰ μεγάλης ὁρμῆς καὶ ἀπολεσθήσεται ἡ ἀρχὴ αὐτῶν,

2. χαλὶκ πασίας C

dens, vivebat. sultanus Mechemeta, ut adolescens, levibus pascebatur ventis. habebat is quidem visiros seu consiliarios prudentissimos, Chalilbassam et Preibassam: sed prorsus nulla in re illis obediebat, ac tantum venationibus conviviisque vacabat. Ungari itaque certiores facti rei Turcicae praepositum esse hominem adolescentem, disciplinae militaris imperitum, in bellum adversos Agarenos ruebant. id paecipue factum est imperatoris Ioannis literis et legatis ad Ungariae regem et Ioannem Huniadem, praestantissimum belli ducem. dixerat sub religione iurisiurandi imperator "si poteris hostem nostrum Europa exturbare, coronam ego maiestatis meae capiti tuo imponam, ut liberatori Christianorum et columnae religionis nostrae." addiderat et id genus alia, vim ad persuadendum habentia ipsosque cogentia. descenderunt igitur, flumen Danubium secuti, cum magno exercitu; traiicientesque in Bulgariam ex agris et oppidis praedas egerunt. cesserunt ipsis prope omnia, quocunque venirent. hoc modo Varnam usque progressi eam ipsam occuparunt, dum conviviis venationibusque Agareni exemplo regis sui indulgent. ut enim apud quendam priscorum sapientum est, quales in republica sunt principes, tales ipsi quoque solent esse cives. in hac perturbatione rerum, cum proceres Turcici viderent tanto impetu Occidentem conculcatum iri suumque imperium periturum, his de re-

διεμηνύσαντο τὸν γέροντα τὸν σουλτὰν Μουράτην, ὄντα ἐν τῇ Μαγνησίᾳ, ὡς εἴπομεν, γράψαντες πρὸς αὐτὸν οὕτως· "ὁ υἱός σου, βασιλεῦ, ἔστι νέος καὶ ἄπειρος πολέμου, καὶ ἕτερον οὐ χεῖρον, ὅτι οὐδὲ ἡμῶν τὰ συμφέροντα συμβουλευόντων ἀκούειν ἐθέλει. ὅθεν ἐλθὲ διὰ συντόμως, ὅτι κινδυνεύει ἀπολεσθῆναι τὸ ἡμέτερον γένος καὶ πεσεῖται, καὶ ἔσται ἡ ἁμαρτία ἐν τῇ σῇ ψυχῇ." ἀκούσας δὲ τοὺς τοιούτους λόγους ἦλθεν ἀντικρὺ τῆς πόλεως ἐν Χρυσοπόλει τῇ λεγομένῃ Σκούταρι. φοβούμενος δὲ διαπερᾶσαι ἦλθεν ὁ Χαλὶλ πασιᾶς μετὰ φουσάτου ἀπέναντι ἐκ τοῦ δυτικοῦ μέρους τῆς χώρας τοῦ Ἀσωμάτου, καὶ διεμηνύσατο τὸν βασιλέα ὅπως περάσῃ αὐτόν, ἵνα μὴ ἀπέλθῃ ἀπὸ Καλλιουπόλεως καὶ διαπεράσῃ καὶ οὕτω ποιήσῃ μάχην μετὰ τῆς πόλεως. ἔστειλεν οὖν ὁ βασιλεὺς κάτεργον καὶ ἐπέρασεν αὐτόν, τὴν μάχην φοβούμενος. οὕτως ἡ θαυμαστὴ γνῶσις τοῦ βασιλέως ἑκατέρωθεν ἐκράτει. πορευθεὶς οὖν ἐν τῇ Βάρνῃ συνάπτει πόλεμον μετὰ τῶν Οὔγγρων, καὶ νικῶσιν αὐτὸν παντελῶς καὶ κατὰ κράτος, ἀφανίσαντες τὰ φουσάτα δύσεως καὶ ἀνατολῆς. ἐν ᾧ πολέμῳ ἔπεσον πολλοὶ ὀνομαστοὶ καὶ μεγάλοι, ἐξ ὧν ἦν καὶ ὁ Καρατζιαπασιᾶς, μπεγλέρπεϊς ὢν τῆς ἀνατολῆς. ἐγένετο δὲ μέγας ἀφανισμὸς εἰς τοὺς Ἀγαρηνούς. ἔμεινε δὲ ὁ αὐθέντης μετὰ τῆς πόρτης τοῦ μόνης.

19. καρατζιαμπασίας C 20. μπέγλερμπεὴς C

bus sultano Muratae, quem Magnesiae solitariam vitam agere diximus, significant, literis in hanc sententiam scriptis: "filius tuus, domine, adolescens est et rerum bellicarum rudis. accedit alterum, non minus incommodum, quod nec dicto nobis audiens est utilia consulentibus. fac ergo cito venias. periculum enim est ne concidat genus nostrum et exstirpetur; cuius mali culpa tota in tuo animo residebit." his Murata perceptis Chrysopolin accessit; quae e regione Byzantii sita est, Scutaris vulgo dicta. ibi traiectum ipso metuente venit Chalilbassa cum copiis, ex adverso, a parte Occidentis, ubi Asomati dictus locus est; ex quo per nuntium monuit imperatorem, traiiceret Muratam, ne is Callipolin abiens ibi transiret, tuncque imperatrici urbi bellum faceret. metuens ergo id periculi imperator, missa trireme, illum traduxit. ita factum ut mira solertia regis utrobique superior exstiterit. profectus ad Varnam cum Ungaris acie decernit; a quibus exercitus ipsius Europaeus Asiaticusque fortissime fusus fugatusque est, multis magni nominis Turcis occisis, et inter hos Caraziabassa, Orientis bellerbeio; magnaque Saracenorum strage edita sultanus cum suo praesidio, quod porta nominatur, solo remansit.

Ἐκάθισαν δὲ εἰς βουλὴν οἱ Οὔγγροι, ὅπως πολεμήσωσι καὶ ἀντιστῶσι καὶ ἀφανίσωσι καὶ τὴν πόρταν. ὑπῆρχε δὲ ὁ Ἴαγγος ἐμπειρότατος ἐν πολέμοις. λέγει δὲ ἔμπροσθεν τοῦ κράλη καὶ τῶν ἀρχόντων "φαίνεταί μοι καλὸν ἵνα πορευθῶ ἐγὼ μετὰ ἐκλεκτῶν στρατιωτῶν ὧν ἐγὼ οἶδα. καὶ εἰ μὲν εὐδοκοῦντος θεοῦ εὐτυχήσω, τῷ θεῷ χάρις· ἐὰν δὲ γένηται τοὐναντίον, πάλιν ὁ κράλης ἵσταται μετὰ τοῦ λαοῦ αὐτοῦ. εἰ δὲ πορευθῇ μὲν ὁ κράλης, γένηται δέ τι ἄλλο, τί μέλλομεν γενέσθαι;" ἤρεσε δὲ ἡ τοιαύτη βουλὴ τοῦ στρατηγοῦ πᾶσιν ὡς 7
ἀρίστη. ὁ κράλης δὲ νέος ὢν οὐκ ἤκουσε τὴν συμφέρουσαν ταύτην βουλήν, ἀλλ' ἤκουσε βουλὰς νέων, εἰπόντων αὐτῷ ὡς ἡ νίκη ἕως τοῦ νῦν σὴ ἦν· οὐδὲν γὰρ ἔμεινεν εἰ μὴ τὸ λαβεῖν ἰδίαις χερσὶ τὸν αὐθέντην Ἀγαρηνῶν. εἰ δὲ πορευθῇ ὁ Ἴαγγος, μέλλει γενέσθαι φήμη ὅτι αὐτὸς ἐποίησε τὴν νίκην. ἀκούσας οὖν τοὺς λόγους τῶν νέων, εὐθέως ἔδωκαν τὰς τοῦ πολέμου σάλπιγγας ἐξ ἑκατέρου μέρους· καὶ καβαλικεύσαντες χαρᾷ καὶ μέθῃ κάτοχοι (ἔθος γὰρ αὐτοῖς πίνειν οἶνον πολὺν καὶ μεθύσκεσθαι) ὥρμησαν ἐνώπιον πάντων οἱ πρῶτοι καὶ μᾶλλον αὐτός, δόντες αὐτοῖς δρόμον καὶ ἄδειαν οἱ λαοὶ καὶ τὰ πλήθη. ἐκ τοῦ γεγονότος οὖν σφοδροῦ πολέμου καὶ τῆς μάχης καὶ τῶν ἀπείρων φόνων ἠθέλησεν ὁ σουλτὰν Μουράτης φυγεῖν· ἐκώλυσαν δὲ αὐτὸν οἱ γενίτζαροι εἰπόντες

Consilium agitare Ungari de pugna redintegranda et porta quoque adorienda ac delenda. ibi Huniades, ut rei militaris scientissimus, ad regem et proceres verba huiusmodi facit. "mihi faciendum videtur" inquit "ut ego cum delecta militum manu, quorum virtus mihi nota est, eam. nam si deo iuvante rem feliciter gessero, gratia deo habenda erit. sin contra evenerit, salvus est rex cum exercitu suo, rebus melioribus reservatus. quodsi rege ad praeliandum profecto offensum fuerit, quod deus avertat: quid de nobis fiet?" placuit consilium optimi ducis optimum omnibus. sed rex aetate et animo iuvenili praeditus id audire, quamvis salutare, noluit: verum consiliis iuniorum auscultavit, dicentium "victoria penes te stetit, rex, hactenus; nec aliud quicquam restat nisi ut ipse tuis manibus principem Agarenum capias. at si Ioannes iverit, ei victoriae partae gloria, ut auctori, accepta referetur." probato itaque iuniorum consilio, continuo ex utraque parte tubae bellicum cecinerunt. tunc equis profecti alacres, vino ad ebrietatem hausto (quippe gens ea multum vini bibere et inebriari solet) irruerunt primi in conspectu omnium proceres, et magis ipse rex, viam eis et cursum dantibus militibus et
exercitu. commissum fuit tanto animorum ardore praelium, tanta 1444
cadentium strage, ut iam fugam inire Murata vellet. sed obstiterunt Nov. 10

ὅτι χρεία ἐστὶν ἵν' ἀποθάνῃς μεθ' ἡμῶν. ὁ δὲ κράλης εὑρὼν δρόμον εἰσῆλθε πλησιάσας ἀτάκτως τῷ σουλτάνῳ. εἷς οὖν τῶν γενιτζάρων ὀνόματι Χαμουζᾶς κρούσας τοὺς ἐμπροσθίους πόδας τοῦ ἵππου μετὰ πελέκυος ἀπέκοψεν αὐτούς· καὶ πεσὼν ὁ ἵππος πλησίον τοῦ σαυλτάνου ἔρριψε τὸν κράλην· καὶ πιάσαντες αὐτὸν ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ, καὶ θέντες αὐτὴν ἐπάνω δόρυος ἠλάλαξαν. εὐθέως δὲ εἰς τοὔπισθεν ἔδραμεν ὁ λαὸς τοῦ κράλη ἅπας, οὓς καὶ κατεδιώξαντες οἱ Ἀγαρηνοὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἔλαβον αἰχμαλώτους. οἱ πλείονες δὲ αὐτῶν διωκόμενοι ἀπεπνίγησαν ἐν τῇ λίμνῃ τῇ πλησίον Βάρνης. ταῦτα ἐποίησεν ἡ κακοσυμβουλία. ὁ δὲ Ἴαγγος προϊδὼν τὸ ἐσόμενον ὡς στρατιώτης δι' ἄλλης ὁδοῦ ἀνεχώρησεν ἐν τῇ ἰδίᾳ πατρίδι. καὶ οὕτω τοιοῦτον τέλος ἔσχον οἱ πόλεμοι αὐτῶν καὶ αἱ συμπλοκαί.

Ὁ σουλτὰν Μουράτης ἐπιστρέψας νικητὴς καὶ τροπαιοῦχος, ἐποίησε τὸν γενίτζαριν τὸν Χαμουτζᾶν σιαντζιάκπεϊν Φιλαδελφίας, ἀπέστειλε δὲ τὸν σουλτὰν Μεχεμέτη τὸν υἱὸν αὐτοῦ πάλιν ἐν Μαγνησίᾳ, ὅπου καὶ πρῶτον ἦν, αὐτὸς δὲ παραλαβὼν πᾶσαν τὴν βασιλείαν ἐκάθητο ἐν Ἀδριανουπόλει, μένων ἐν εὐημερίᾳ καὶ ἐντρυφῶν. μετὰ δὲ παραδρομὴν ἐτῶν τριῶν ἐτελεύτησε ταφεὶς ἐν τῇ Προύσῃ, βασιλεύσας ἔτη τριάκοντα δύο.

16. σαντζάκπειν C 21. τριάκοντα δύο add A

Ianizari, dicentes "manendum tibi est, et nobiscum moriendum." rex, via ferro patefacta, sine ordine ad sultanum usque imprudenter penetravit. ibi Ianizarorum quidam, cui nomen Chamuzae, anteriores regii equi pedes bipenni abscidit; quo prope sultanum collapso rex humi stratus iacuit. cuius capti caput praecisum, hastae infixum ac sublime portatum, fuit, addito laeto, tanquam victoria iam parta, clamore. quo spectaculo perculsus Ungaricus exercitus statim pedem retulit universus ac fugit. hos insecuti hostes partim occiderunt, partim vivos ceperunt. maior tamen pars inter fugiendum in palude Varnae vicina submersa periit. hic mali consilii exitus fuit. at Ioannes, futuri haud improvidus, habitu ac specie gregarii militis, alia via in patriam suam rediit. hunc finem bellum hoc et pugna habuit.

Sultanus vero Murata, victor cum opimis spoliis reversus, illum victoriae auctorem Ianizarum, cui nomen Chamuzae fuisse diximus, Philadelphiae saniachum fecit; filium Mechemetam Magnesiam, ubi antea vixerat, remisit. ipse, repetita regni totius administratione, Adrianopoli residebat, rebus gestis fortunatus, felicitate et deliciis partis fruens. triennio post elapso finem vitae fecit, Prusae sepultus, postquam 32 annos regnasset.

Καὶ πάλιν ἔλαβε κατὰ ἀλήθειαν ὁ υἱὸς αὐτοῦ σουλτὰν 8
Μεχεμέτης τὴν πᾶσαν βασιλείαν καὶ κληρονομήσας καὶ διαδεξάμενος τὸν πατέρα αὐτοῦ. οὐ πολὺ δὲ ἐν μέσῳ, καὶ ἐτελεύτησε καὶ ὁ βασιλεὺς κύριος Ἰωάννης ὁ Παλαιολόγος, βασιλεύσας ἔτη εἴκοσι τέσσαρα. ἦλθον οὖν οἱ ἀδελφοὶ αὐτοῦ, ὅ τε Κωνσταντῖνος ὁ δράγασις, Δημήτριος καὶ Θωμᾶς· καὶ παραδόντες τὴν βασιλείαν τῆς πόλεως πρὸς τὸν Κωνσταντῖνον αὐτὸν αὐτοὶ καὶ ἀμφότεροι ἐπορεύθησαν ἐν Πελοποννήσῳ. καὶ μερισάμενοι ταύτην ὁ μὲν ἐν Λακεδαιμονίᾳ ὁ δὲ ἕτερος ἐν Κορίνθῳ ἐκάθηντο, ὡς οὐκ ἔδει.

Ὁ δὲ σουλτὰν Μεχεμέτης οὗτος, παραλαβὼν τὴν ἡγεμονίαν δύσεως καὶ ἀνατολῆς, βουλὴν ἐβουλεύσατο πικροτάτην κατὰ τῆς πόλεως καὶ κατὰ τῶν Χριστιανῶν. καὶ πρῶτον μὲν ὑπεκρίθη φιλίαν ἄκραν μετὰ τῶν πολιτῶν, γέμουσαν δὲ δόλου καὶ πονηρίας οὐ μικρόν. κτίζει οὖν ἄνωθεν τοῦ Φάρου, εἰς τόπον λεγόμενον Φονέαν, νεόκαστρον, ὅπερ νῦν ἵσταται, μετὰ πύργων στερεῶν καὶ ἰσχυρῶν. δι' ὃ κτιζόμενον καὶ ἀνεγειρόμενον ἐδίδουν καὶ οἱ πολῖται τὰ πρὸς χρείαν, τροφὰς ἐν μέρει καὶ λίθους καὶ ἄλλα. τοῦτο δὲ ἐποίουν φοβούμενοι αὐτόν, μή πως μάχην ποιήσηται μετ' αὐτῶν, καὶ ὅτι, εἰ καὶ ἠδύναντο κωλύειν, ἀλλὰ τινὲς ἤλπιζον εἰς τοὺς ὅρκους οὓς εἶχον μετὰ τοῦ πατρὸς αὐτοῦ, οὓς καὶ αὐτὸς

5. εἴκοσι τέσσαρα add A

Tunc Mechemeta filius, stabili hereditate patri succedens, universum regnum recuperavit. 1450
nec multo interiecto tempore imperator quoque Ioannes extremum vitae diem confecit, postquam rei Romanae 24 annos praefuisset. itaque convenerunt consultandi causa fratres illius, Constantinus cognomento Dracosis, Demetrius ac Thomas. ibi administratione imperii urbis Constantino tradita, ambo ipsi in Peloponnesum abierunt. quam cum inter se partiti essent, alter Lacedaemone, Corinthi alter, contra quam fieri debebat, sedem ceperunt.

Ceterum iste sultanus Mechemeta, imperio Occidentis et Orientis potitus, consilium contra urbem acerbissimum cepit et adversus Christianos. primo quidem summam erga cives amicitiam simulavit, sed malitiae fraudisque admodum plenam. itaque condit supra Pharum, in loco Phonea nomine, novum quoddam castellum, quod hodie exstat, plurium validissimarum turrium, ad id condendum et excitandum civibus etiam urbis, ea quae usui erant, suppeditantibus, alimenta ex parte, lapides et huiusmodi alia. id metu adducti faciebant, ne bellum forte ipsis inferret. accedebat quod, licet prohibere possent, spem tamen quidam habebant in foedere et iuramento, quod cum

ἔστερξε καὶ ἐβεβαίωσε, καὶ ἐδείκνυε καὶ ἄκραν φιλίαν πρὸς τοὺς Βυζαντίους πλαστῶς, ὡς τὸ τέλος ἔδειξε, καὶ καιρὸν δουλεύων. μετὰ δὲ τὸ τελειῶσαι καὶ ἀπαρτίσαι τὸ κάστρον αὐτό, θέμενος σκύπτρα, φύλακας, σκευὰς καὶ ὅπλα ἄλλα, ἐπορεύθη ἐν Ἀδριανουπόλει.

Εἶχον δὲ ἐλπίδας οἱ ἐν τῇ πόλει ἵνα, ἐάν τι ἴδωσιν, ὡς πλησίον ἀφανίσωσιν· ἐτρέφοντο δὲ μάτην ταῦτα οἰόμενοι. ἀναχωρήσαντος γὰρ τοῦ σουλτάνου τόπον μερικόν, πορευομένου πρὸς Ἀδριανούπολιν, οἱ Ἀγαρηνοὶ καταδιώξαντες μετὰ τῶν ἵππων καὶ ποιήσαντες πιλάλημα, ὡς ἔθος αὐτοῖς, ἥρπασαν μέρος ἀνθρώπων, τοὺς ἐντυχόντας ἐν μέρεσι τῆς χώρας τῶν Ἀσωμάτων καὶ τοῦ ἁγίου Φωκᾶ. διεφημίσθη δὲ καὶ φήμη ὅτι εἶπεν ὁ σουλτᾶνος ὅτι ἰδοὺ ἀπέρχομαι, καὶ τὸν Ἀπρίλλιον ἔρχομαι πάλιν, καὶ γνώτωσαν οἱ ἐν τῇ πόλει. διαμηνυσάμενοι δὲ οἱ Βυζάντιοι, καὶ εἰπόντες ὡς οὐκ ἔστι δίκαιον ἵνα μενούσης τῆς ἀγάπης ἁρπασθῶσιν οἱ ἄνθρωποι αὐτῶν, ἀπεκρίθησαν ὅτι ὁ αὐθέντης οὐκ οἶδε τὸ γινόμενον. ὥρισεν οὖν ὅπως ἐξετάσαντες εὕρωσι καὶ πέμψωσιν εἰς τὰ ἴδια.

9 Τοιαύτην οὖν εἰρήνην πλαστὴν ἔχοντες, γέγονε καὶ μάχη φανερά· ψυχὴ γὰρ ἀδικεῖν προελομένη οὐ δύναται ἐπὶ πολὺ φέρειν τὸ σκιάζον. ἐκινήθη δὲ τῷ αὐτῷ ἔτει ὥσπερ θὴρ

22. σκιάδιον A

patre ipsius factum fuerat; quod etiam ipse a se confirmatum servabat, summamque erga Byzantios praeferebat benevolentiam. sed simulate totum ab eo factum, ut eventus declaravit, tantum temporis causa. castri aedificatione ad finem perducta, positis iuibi vexillis, praesidio, tormentis bellicis aliisque armorum generibus, ipse Adrianopolin se contulit.

Habebant spem oppidani se, si quid periculi viderent, posse illud, ut in propinquo situm, diruere: sed ea spes fallax fuit. nam cum sultanus aliquantum discessisset Adrianopolin petiturus, Agareni interea equestribus excursionibus de more factis homines rapiebant, quos obvios in locis regionis Asomatorum et S. Phocae habuissent. fuit et fama sparsa, dixisse sultanum "nunc quidem abeo, sed mense Aprili redibo; et cognoscent, qui in urbe sunt." Byzantiis per legatos conquerentibus, ac dicentibus non esse iustum pacis tempore suos homines abripi, responsum fuit haec imprudente sultano fieri. iussit ergo is, inquisitione facta, inventos ad sua remitti.

Cum hoc modo fictam infidamque pacem haberent, ad apertum tandem bellum deventum est. animus enim qui semel iniuste agere

ἄγριος κατὰ τῆς πόλεως, μετὰ πλήθους ἀναριθμήτου, ἔκ τε γῆς καὶ θαλάσσης. καὶ τὴν μὲν γῆν ἐπλήρωσεν ἀνθρώπων καὶ ἵππων, τὴν δὲ θάλασσαν διὰ τῶν μακρῶν νηῶν, πληρώσαντες καὶ ταύτας ἀνθρώπους ἐκ τῶν χωρῶν τοῦ βασιλέως, τοῦ μέρους τοῦ Πόντου, βίᾳ ἐμβαίνειν ἀναγκάζοντες.

Παραγενομένων δὲ τῶν νηῶν, ἐκωλύοντο ὑπὸ τῆς μεγάλης ἁλύσου τῆς ἡπλωμένης. ἀπὸ Γαλατᾶ ἄχρι Βυζαντίου εἰσελθεῖν ἐντὸς τοῦ λιμένος. ἐποίησαν οὖν κατασκευὴν οἵαν εἰκὸς θαυμάσαι καὶ ἐκπλαγῆναι. πετάσαντες γὰρ αὐτῶν τὰ ἱστία καὶ θέντες ὑποκάτω τρόπας, καὶ ἄλλας ποιήσαντες μηχανάς, ἔσυρον αὐτὰς ἐπάνω τῆς χέρσου, πλήθει λαοῦ πολλοῦ, ἀναβιβάσαντες καὶ διαπεράσαντες ἐπάνω τῶν ὑψωμάτων καὶ τόπων τοῦ Γαλατᾶ, μετὰ τυμπάνων καὶ σαλπίγγων ἕλκοντές. κατεβίβασαν δὲ αὐτὰς ἀντίπεραν εἰς τὰ γλυκέα νερά. καὶ οὕτως ἐκυρίευσαν τοῦ λιμένος. εἶτα ἐποίησαν πάλιν σκάλας μετὰ βουτζίων καὶ σανίδων, καὶ ἔδησαν, ἄχρι ξυλοπόρτας· καὶ οὕτω παντοιοτρόπως περιεκύκλωσαν, ὡς κύνες πολλοί, τὴν θαυμασίαν πόλιν, καὶ ἐστενοχώρουν.

Παρακαθημένων οὖν αὐτὴν καὶ πολιορκούντων καὶ πολεμούντων ἀπό τε ξηρᾶς καὶ θαλάσσης ἐχάλασε καὶ τείχους μέρος μετὰ τῆς μεγάλης σκευῆς, ἀπὸ τῆς πύλης τῆς λεγομέ-

constituit, diu simulationis involucro et umbra tegi non potest. commovit igitur eodem se anno ceu bellua atrox, adversus urbem innumeris copiis tendens, terra marique. terram implevit viris et equis, mare longis navibus; quas et ipsas hominibus partim e regionibus imperatoris partim ex ora ponti Euxini, vi conscendere coactis, complevit.

Classis postquam accessisset, intrare portum propter ingentem catenam a Galatae seu Perae oppido Byzantium usque obtentam non potuit. machinationem ergo aggressi sunt miram ac merito obstupescendam. expansis enim navium velis, et vario machinarum genere ad promovendum subiecto, in terram illas magna populi manu subtraxerunt, donec sublatas et provectas per acclivia in suburbano Galatae, cum tympanorum tubarumque sonitu, statuerunt. unde postea in parte adversa in sinum dulcium aquarum intra catenam demiserunt. hoc modo portum in suam potestatem redegerunt. postea scalas seu pontes e navibus descendendi ex doliis asseribusque fecerunt, et ad lignariam usque portam (xyloportam vocant) religarunt. ita omni modo undique circumcluserunt, veluti magna vis canum, admirabilem urbem, et coangustarunt.

Obsidentibus tum ipsam ac bello terra marique infesto prementibus, concidit moenium pars, magno tormentario impetu concussa,

[illegible] Χαρσῶς (?) ἕως τῆς πόρτας τοῦ ἁγίου Ῥωμανοῦ. ἐφύλαττον [illegible] καὶ ἀντιμαχόμενοι. [illegible]

Ἐπειδὴ δὲ τῷ καιρῷ ἐκείνῳ ἦλθέ τις ἄρχων Γενουβίτης, ὀνόματι Ἰουστινιανὸς μετὰ καραβίων μεγάλων δύο. καὶ εἰδὼς ἅπερ ἔπασχον οἱ Βυζάντιοι, καὶ ὅτι οὐδεὶς τῶν ἀρχόντων ἤθελε σταθῆναι εἰς τὴν χαλάστριαν, ἀλλὰ εἷς ἕτερον ἔλεγε σταθῆναι, ἕκαστος δὲ ἀπέφευγε δειλιῶν, σταθεὶς ἐν μέσῳ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων εἶπε "δύναμαι ἐγὼ σὺν Θεῷ μετὰ τοῦ λαοῦ μου σταθῆναι καὶ ἀντιμαχήσασθαι καὶ βαστάσαι τὴν χαλάστριαν, ἕνεκεν τοῦ ὀνόματος τοῦ Χριστοῦ, μετὰ βρώσεως καὶ πόσεως τῆς ἐμῆς." εὐχαρίστησαν οὖν αὐτὸν ἅπαντες. διέμεινεν οὖν ὁ ἄρχων ἐκεῖνος φυλάττων καὶ ἀν-
10 τιμαχόμενος ἐπὶ ἡμέρας πολλάς, καὶ ἀπεδίωκε τοὺς Ἀγαρηνούς, καὶ ἐκώλυεν εἰσελθεῖν. ὅρα δὲ τὴν ἁμαρτίαν καὶ τὴν τοῦ Θεοῦ ἐγκατάλειψιν. ἱσταμένου γὰρ αὐτοῦ καὶ ἀντιμαχοῦντος, ἐλθοῦσα βολὴ δέδωκεν αὐτῷ εἰς τὸν δεξιὸν πόδα, καὶ ἀπὸ τῆς σφοδρᾶς ὀδύνης ἔπεσεν ὡς τεθνηκώς. ὅθεν καὶ ἄραντες αὐτὸν οἱ ἴδιοι ἄνθρωποι ἀπῆλθον, καὶ ἐνέβαλον ἐν τοῖς πλοίοις αὐτοῦ, καὶ ὑψώσαντες ἱστία ἀπέδρασαν· ἀπάραντες δέ, κατερχόμενοι ἄχρι Χίου νήσου, ἐκεῖ ἐτελεύτησε.

ea quae extenditur a porta Chersone ad portam usque S. Romani. qui oppidani ibi stationem habebant, in locum ruinae pro muro multa obiecerunt, locum tutantes. atque ubi pars moenium cecidisset, eo tanquam aquilae advolabant.

Advenerat eo tempore vir quidam nobilis, ex urbe Genua oriundus, nomine Iustinianus, duabus cum magnis navibus. is cernens mala quibus conflictabantur Byzantii, neminemque de nobilitate in loco ab hostibus maxime infestato velle resistere, sed alium alii iubere, unumquemque autem metu refugere, progressus in medium ad imperatorem et proceres, "possum ego" inquit "cum meis militibus, opitulante deo, ibi stare et repugnando in ruinis muri impetum hostium ac violentiam sustinere ob honorem nominis Christi, idque meo sumptu et alimentis." gratiae fuerunt ei a cunctis actae. tutatus est igitur pugnando locum vir ille fortis ad multos dies, et Agarenos irruere conantes reiecit, irruptioneque urbis prohibuit. sed ob peccatum, ob auxilii divini destitutionem. nam cum in hostem constanter pugnaret, ictus fuit globo tormenti in dextero pede. unde vehementi dolore orto in terram cecidit, et pro mortuo iacuit. itaque sublatum asportarunt sui, eoque navibus suis imposito vela fecerunt et ab urbe discesserunt. cum ad insulam Chium delati appulissent,

διεφημίσθη δὲ ὅτι ἔνδοθεν τοῦ κάστρου δέδωκαν αὐτῷ. ἀλλὰ τὸ ἀληθὲς οὐδεὶς οἶδεν, ὅπως ἐγένετο.

Τούτου δὲ καὶ ἔτι ἀντιμαχοῦντος, βουλὴν ποιησάμενοι οἱ ἐντόπιοι ἔπεμψαν μετὰ πλοιαρίου μικροῦ καὶ ταχέος νέους τεσσαράκοντα ὅπως πυρπολήσωσι τὴν ἀρμάδαν Ἀγαρηνῶν κρυφίως, ἐξελθόντες ἀπὸ τοῦ κυνηγοῦ τῆς πύλης. ὃ δὴ καὶ μαθόντες οἱ ἐν Γαλατᾷ Φράγγοι, φιλίαν πρὸς Τούρκους ἐνδεικνύμενοι, ποιήσαντες φῶτα ἄνωθεν τοῦ μεγάλου πύργου εἴδησιν Ἀγαρηνοῖς ἔδωκαν· καὶ ἀφέντες σκευὴν βομβάρδαν λεγομένην ἐκ τῶν κατέργων ἐβούλησαν τὴν Τριβοῦδαν, καὶ ἀπεπνίγησαν οἱ θαυμαστοὶ ἐκεῖνοι, καὶ ἐν ὕδασιν ἀπέθανον.

Ταῦτα οὖν ὁρῶντες οἱ τῆς πόλεως, καὶ εἰς νοῦν θέμενοι τὸ

θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος,
καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος,

πάλιν ἐποίουν τι, καὶ τὸ κατὰ δύναμιν οὐκ ἠμέλουν. ἀλλὰ τί ποιῆσαι εἶχον εἰς τόσον πλῆθος ἄπειρον; ἕνα εἰπεῖν εἰς χιλίους; οὐδέν, εἰ μὴ μόνον τὸ ἐπικαλεῖσθαι τὴν θείαν βοήθειαν καὶ πράττειν ἀεί τι τῶν δυνατῶν. γνόντες οὖν ὅτι οἱ τῆς Ἄγαρ βούλονται δοῦναι πόλεμον μέγαν καὶ δυνατὸν πανστρατιᾷ αὔριον κατὰ τῆς πόλεως καὶ πάντα λίθον κινῆσαι

illic ipse diem suum obiit. sparsus fuit rumor intra civitatem ab aliquo percussum esse. sed ea de re nihil certi constat.

Antea vero, cum is adhuc pro urbe propugnaret, oppidani, deliberatione habita, navigio parvo ac celeri quadraginta iuvenes emiserunt, qui clam hostilem classem incenderent, Cynegia porta egressi. id cum Latini, qui Galatam incolebant, percepissent, studii sui erga Turcas significandi causa, flammae de magna turri indicio, hostibus eos prodiderunt. qui globo bombardae e triremi emisso celocem submerserunt. ita praeclari illi iuvenes vitam aquis suffocati amiserunt.

His visis oppidani, cum apud animos suos illud reputassent

"deo iuvante nil nocet oculus invidus,
et non iuvante nil valet labor improbus,"

rursus ad defensionem se comparabant, proque virili sua parte nihil, quod ad salutem pertineret, praetermittebant. sed quid contra tantam multitudinem barbarorum facerent? quid unus adversus (ut ita dicam) mille? nihil certe, nisi ut tantum implorata divina ope semper aliquid pro virili facerent. cognito igitur postridie Agarenos vehementissime oppugnaturos urbem omnibus copiis, omnemque lapidem moturos, omnem machinationem ad expugnandum adhibituros, egressi

καὶ μηχανήν, ἐξῆλθον οἱ ἔνδον πολῖται εἰς τὸ ἔξω κάστρον, φοβούμενοι μὴ εἰσβάλωσιν ἔνδον τειχῶν τῇ ὁρμῇ αὐτῶν.

Οἱ Τοῦρκοι οὖν τὴν αὔριον, εὐθὺς ἅμα πρωΐ, πόλεμον στήσαντες καὶ δρόμον μέγαν μετὰ τῶν ἵππων αὐτῶν εἰσῆλθον πολλοὶ ἀπὸ τῆς χαλάστριας καὶ ἐκυρίευσαν καὶ τῶν μεγάλων τειχῶν, καὶ σκῆπτρα ἔθεντο ἐπάνω τῶν πύργων, οὓς καὶ θεασάμενοι οἱ Βυζάντιοι ἐπολέμησαν γενναίως· καὶ ἔπεσον τόσοι ἑκατέρωθεν ὥστε οὔτε τοὺς ἔξω ἔτι δύνασθαι εἰσελθεῖν οὔτε τοὺς ἔνδον ἐξελθεῖν ὑπὸ τῶν ἀμετρήτων σωμάτων τῶν νεκρῶν. ἐγένετο γὰρ ὁ σωρὸς τῆς πληθύος τῶν πεσόντων
11 *νεκρῶν μέχρι ἀψίδων αὐτῶν τῶν πυλῶν τῶν τειχῶν, πύλης Χερσοῦς καὶ τοῦ ἁγίου Ῥωμανοῦ, ὡς ἐφαίνετο ἐπικειμένη. καὶ οὕτως ὑπερισχύσαντες οἱ Ἀγαρηνοὶ εἰσῆλθον ἀνὰ πᾶσαν τὴν ποτὲ μὲν περιφανῆ, δυστυχεστάτην δὲ ἔκτοτε πόλιν τοῦ Κωνσταντίνου. καὶ οὕτω γέγονεν ἡ ἅλωσις τῆς ἀρίστης τῶν πόλεων ταύτης, ἐν ἔτει ,ϛϡξα΄, μηνὶ μαΐῳ κθ΄, ἡμέρᾳ τρίτῃ, πρωΐ.*

Τῆς ἀνοχῆς σου, δέσποτα παντοκράτωρ, ὅτι ἐμακροθύμησας καὶ ταῦτα γενέσθαι, ἢ μᾶλλον εἰπεῖν, παρεχώρησας. τίς γὰρ ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτῷ ἐγένετο; τίς οὖν λιθοκάρδιός ἐστιν, ὃς δύναται μὴ κλαῦσαι καὶ θρηνῆσαι τὸν τοιοῦτον λεηλατισμὸν καὶ ἀφανισμὸν τῆς εὐδαιμο-

sunt in exteriorem inter duos muros munitionem, quoniam metuebant gravissimum hostis impetum, ne intra moenia irrumperet.

Turcae igitur postridie, prima statim luce, equis acri cursu advecti oppugnationem intulerunt urbi gravissimam. ac multi eorum, qua parte ruinae iacebant muri, irruerunt; et magnis etiam moenibus potiti signa sua in turribus fixere. repugnaverunt Byzantii animose; ac tantus utrinque numerus caesorum fuit ut nec qui foris erant, amplius possent ingredi, nec qui intus, egredi prae innumero cadaverum acervo. is enim iam ipsas portarum Chersonis et S. Romani fornices altitudine, adaequaverat sua, ita ut porta incumbere cadaveribus videretur. ita viribus valentiores facti barbari universam pervaserunt illam, quondam inclytam, tunc vero infelicissimam, Constantini urbem. hoc modo expugnata fuit praestantissima haec urbs, anno mundi sexies millesimo nongentesimo sexagesimo uno, die Maii 29, qui tertius hebdomadis erat, tempore matutino.

Hem tolerantiam tuam, domine omnipotens, qui haec ita fieri sustinueris aut potius permiseris. sed quis novit mentem domini? aut quis ei a consiliis fuit? quis ita saxeo corde est qui non lacrimetur, qui non deploret tantam spoliationem, tantam abolitionem urbis ante alias olim felicissimae illustris atque imperiosae, nunc au-

νεστάτης τῶν πόλεων ποτὲ καὶ ὑπερκειμένης, ἀθλιωτάτης δὲ καταστάσης καὶ ἐξουδενωμένης καὶ δακρύων ἀξίας; ποία καρδία σιδηρᾶ οὐ μὴ λάβοι πόνον τῆς συμφορᾶς ἐκείνης; οἶμαι ὅτι καὶ γῆ ἐστέναξε καὶ λίθοι καὶ πᾶν ἄψυχον, τὴν μεγάλην καὶ ἀνυπόφορον μὴ μείναντα συμφοράν.

Καὶ ἦν ἰδεῖν φρικτὰ καὶ ἐξαίσια, ἁρπαζόμενα ἐκ τῶν μοναστηρίων τὰ σκεύη τὰ ἱερά, θείους ναοὺς ὑπὸ ἀσεβῶν καταπατουμένους, γυναῖκας θεῷ ἀφιερωμένας ἁρπαζομένας, παρθένους βιαζομένας, ἐλευθέρας καὶ κυρίας καὶ εὐγενεῖς δούλας ἑλκομένας βίᾳ, κλαιούσας καὶ βοώσας καὶ πᾶν εἶδος ὕβρεως ὑπομενούσας καὶ βασανιζομένας, ἱερεῖς τε καὶ μοναχοὺς μετὰ σχοινίων δεδεμένους καὶ ἑλκομένους. καὶ τίς ἱκανὸς φράσαι καὶ καταλεπτῶς διηγήσασθαι τὴν τότε γεγενημένην συμφορὰν καὶ θεήλατον ὀργήν; οὐδὲν ἄλλο εἰπεῖν πλὴν τὸ φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. ἦν ὁρᾶν μετὰ τῶν ἄλλων δεινῶν καὶ τὰ τῶν βασιλέων μνήματα ἀνοιγόμενα καὶ ἐμπαιζόμενα. τοῦτο δὲ ἐποίουν ἐλπίζοντες εὑρίσκειν τι τῶν χρυσῶν ὑφασμάτων. καὶ ἄλλα κατενεανιεύοντο οἱ παρανομώτατοι.

Καὶ ἔγκαιρον εἰπεῖν τὸν θρῆνον Δαβίδ, τὸ "ὁ θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου· ἐμίαναν τὸν ναὸν τὸν

tem ad extremum miseriarum et contemptus redactae ac prorsus lamentandae? quodnam cor ita ferreum est quod, audita tanta calamitate, temperet a dolore, a luctu? terra profecto ipsa et lapides et quodvis inanimum mihi gemuisse videntur, intueri tantas tam intolerabiles aerumnas horrentia, luctuque refugientia.

Spectacula enim occurrebant horrenda, captum humanitatis excedentia: direptio sacrorum vasorum e monasteriis, divinorum templorum impiis calcantibus profanatio, consecratarum deo feminarum raptus, violatio virginalis pudoris. raptabantur ingenuae, nobiles illustresque feminae servilem in modum violenter, ad coelum tendentes cum fletu et ululatu oculos, omne genus contumeliae et torturae patientes. trahebantur sacerdotes ac solitariae vitae sectatores funibus vincti. quis tanta eloquentia esset ut verbis consequi aut oratione percensere singulas illius temporis calamitatum species iraeque divinae posset? aliud nihil dici verius potest quam hoc "horribile est in manus incidere dei viventis." inter alia dira etiam hoc cernere erat, monumenta imperatorum effodi, aperiri, illudi. fiebat hoc a sceleratis spe inveniendae detrahendaeque aureae vestis et ornatus. alia denique ab eis sceleris plena perpetrabantur.

Haud ab re fuerit, hoc loco dicere lamentum Davidis. "deus, venerunt gentes in hereditatem tuam: polluerunt templum sanctum

ἅγιόν σου· ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς· ἐξέχεον τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλήμ, καὶ
12 οὐκ ἦν ὁ θάπτων. ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. ἕως πότε, κύριε, ὀργισθήσῃ εἰς τέλος;"

Ἄξιον καὶ τὴν παίδων ᾠδήν, ὄντων ἐν μέσῳ τῆς καμίνου καὶ λεγόντων "δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. καὶ παρεδόθημεν εἰς χεῖρας ἐχθρῶν ἀνόμων ἀποστατῶν· καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρέδωκας διὰ τὰς ἁμαρτίας ἡμῶν."

Πῶς κατεδέξατο ἡ ἐπ' ὀνόματι τοῦ θεοῦ λόγου κτισθεῖσα ἁγία Σοφία, ὁ ἐπίγειος οὐρανός, ἡ νέα Σιών, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος, τὸ καύχημα πάσης τῆς οἰκουμένης, τὸ ἄγαλμα τῶν ἐκκλησιῶν, ἡ ὑπερέχουσα πάντων τῶν τῆς γῆς κτισμάτων. ὢ τοῦ θαύματος, ὁ τοῦ θεοῦ περιώνυμος ναὸς ἐγένετο ναὸς τῶν Ἰσμαηλιτῶν τῶν ἀθέων καὶ ἀπίστων. φρῖξον, ἥλιε· στέναξον ἡ γῆ, καὶ κλονουμένη βόησον "ἀνεξίκακε κύριε, δόξα σοι."

Τούτῳ τῷ τρόπῳ ᾐχμαλωτίσθη ἡ Κωνσταντινούπολις. ὁ ταλαίπωρος δὲ βασιλεὺς Κωνσταντῖνος, ἅμα τῷ εἰσελθεῖν τοὺς

tuum, Hierosolymam in formam pomarii redegerunt. cadavera servorum tuorum devoranda volucribus caeli obiecerunt, carnem sanctorum tuorum bestiis terrae. effuderunt sanguinem eorum velut aquam circa Hierosolymam; nec erat qui sepeliret. probrosi apud vicinos nostros habemur: illudimur et sannis incessimur ab illis qui circa nos habitant. quousque irasceris, domine? nunquamne finis erit?"

Operae pretium etiam adolescentulorum carmen, qui in medio ardentissimae fornacis dixerunt "iustus es in omnibus quae nobis fecisti. traditi sumus in manus inimicorum iniquorum et defectorum. regi iniusto pessimoque nos dedisti, idque propter peccata nostra."

Quomodo contumeliam ferre tantum potuit, quae de nomine divini logi condita fuit, S. Sophia? illud terrestre caelum, nova illa Sion, quam construxit ipse dominus, non homo; gloria illa universi orbis terrae, illud decus ecclesiarum, eminentissimum illud omnium per orbem terrarum aedificiorum. o rem miram. nobilissimum dei templum templum factum est Ismaelitarum impiorum illorum et infidelium. horresce, sol; ingemisce, terra, concutere, exclama. gloria tibi, tolerantissime malorum domine.

Hoc modo expugnata captaque fuit Constantini urbs. ceterum miserrimus imperator Constantinus, eodem tempore quo Turcae ir-

Τούρκους ἐν τοῖς μέρεσι τοῦ ἁγίου Ῥωμανοῦ, περιπατῶν μετὰ καὶ ἑτέρων ἀρχόντων, ἐπισκεπτόμενοι τὰ τείχη, ὑπήντησαν αὐτῷ Τοῦρκοι καὶ ἐπολέμησαν· καὶ ἀπετμήθη τὴν κεφαλὴν πολεμῶν καὶ μὴ καταδεξάμενος ὅλως δουλωθῆναι. συναπέθανον δὲ αὐτῷ καὶ ἄλλοι ἄρχοντες. τοῦτο δὲ ἐτόλμησαν οἱ Ἀγαρηνοὶ ἀγνοήσαντες ὅτι ὁ βασιλεὺς ἦν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἄν, οἶμαι, ἐφόνευσαν αὐτὸν ἀλλὰ ζῶντα ἐπίασαν, συλλαβόντες παντοιοτρόπως, καὶ προσέφερον τῷ βασιλεῖ αὐτῶν. ὕστερον δὲ πολλῆς ζητήσεως γενομένης περὶ αὐτοῦ, φοβουμένου τοῦ σουλτάνου μή πως ἐν τοῖς ζῶσιν ἐστὶ καὶ πορευθεὶς κομίσῃ τινὰ βοήθειαν, εὗρον τὴν κεφαλὴν αὐτοῦ καὶ ἀνεγνώρισαν αὐτὴν ὅ τε Μάμαλις καὶ ἕτεροι ἄρχοντες, καὶ οὕτως ἔπαυσε τοῦ φόβου.

Τὴν δὲ χαρὰν ἥνπερ ἔσχεν ὁ αὐθέντης τότε ὁ σουλτᾶνος, τίς διηγήσεται; ἑώρα γὰρ ὅτι ἐγένετο κύριος τοιούτου κάστρου μεγάλου καὶ περιβοήτου καὶ ἐκλέκτου, καὶ βασιλεὺς Ῥωμαίων, κύριος ἀνατολῆς καὶ δύσεως οὐκ ὀλίγης.

Παρελθόντων δὲ ἡμερῶν πέντε γέγονε ζήτησις μεγάλων ἀρχόντων· καὶ καταλαβόντες τὸν μέγαν δοῦκαν, τὸν μέγαν δομέστικον, τὸν πρωτοστράτορα, υἱὸν Καντακουζηνοῦ τοῦ μεσάζοντος, καὶ ἄλλους πολλοὺς ἐκλεκτοὺς ἄρχοντας εὐγενεῖς 13
ἀπεκεφάλισαν αὐτούς. τοῦ δὲ μεγάλου δουκὸς τοὺς υἱοὺς

Illis temporibus bello adversus Uzucasanem commisso sultanus in Persiam cum copiis profectus est. progressus tunc ad flumen Euphraten usque praelium commisit; in quo et Chas Murates occubuit, primus Orientis Turcicus praefectus (quem ipsi bellerbeium vocant), Palaeologi Guidonis seu Viti filius. bassa vero Muchumuta erat Occidentis bellerbeius; qui ei non succurrit in praelio, invidiae morbo impeditus. qua de causa rex huic iratus eum, brevi omnino tempore post quam ab exercitu redisset, suffocavit in quadam turri. cum rursus ad praelium esset ventum, vim Turcarum et impressionem tantam contigit fieri, ut nullus consistendi locus Uzucasani esset, sed fuga salutem sibi parere cogeretur. captus fuit magnus numerus Azemidarum, qui in eo bello auxilium tulerant; capti de proceribus non pauci. captivi in urbem adducti misere vivebant; nec non multi eorum mortui sunt. alii, pace inter utrumque regem facta, in patriam suam reverterunt.

Cum triennium patriarchae munere, et aliquanto amplius, functus esset Symeon, extitit ea tempestate hieromonachus quidam nomine Raphael, e Servia genus ducens, homo insigniter ebriosus. hic cum quosdam ex primoribus haberet fautores, se quotannis pollicitus est persoluturum tributi nomine bis mille aureos; daturum item pe-

δὲ κατεργασάμενος ἔλαβε τὸν θρόνον κακῶς καὶ ἐπιβατικῶς, καὶ ἐξεβλήθη πάλιν ὁ κύριος Συμεών. στάσεως δὲ γενομένης οὐκ ἤθελον συλλειτουργῆσαι αὐτῷ· πλὴν ὑπὸ φόβου τῶν ἔξω καὶ ἄκοντες συνελειτούργησαν αὐτῷ. τόσον δὲ ἦν ὁ τρισβάρβαρος μέθυσος ὅτι οὔτε ἐν τῇ μεγάλῃ ἑβδομάδι ἠδύνατο στῆναι ἐν τῇ ἀκολουθίᾳ τῆς ἐκκλησίας ὑπὸ μέθης μεγάλης. ὅθεν καὶ πάντες ἐμίσουν αὐτόν, καὶ ἔτι ὅτι ἦν καὶ ἀλλόγλωσσος. τελειωθέντος δὲ τοῦ χρόνου, καὶ μὴ δυνηθέντος δοῦναι τὸ χαράτζιον, οὐδενὸς ὄντος τοῦ βοηθοῦντος αὐτῷ, οὔτε τῶν κληρικῶν οὔτε τοῦ λαοῦ, ἐνέβαλον αὐτὸν ἐν τῇ φυλακῇ. καὶ ἐξερχόμενος αὐτῆς καὶ διερχόμενος, ὡς ἔθος, μετὰ ἁλύσεως
25 ἐλεημοσύνης ἕνεκα ἐτελεύτησε. κοινῆς δὲ βουλῆς γενομένης καὶ συνόδου συγκροτηθείσης, ἐποίησαν πατριάρχην τὸν μέγαν ἐκκλησιάρχην, μετωνομάσαντες αὐτὸν Μάξιμον.

Ἐν δὲ τῷ ͵ϛϡοη′ ἔτει ἐποίησε μάχην μετὰ τῶν Βενετίκων, καὶ ἐπορεύθη κατ' αὐτῶν ἀπό τε γῆς καὶ θαλάσσης, ἔλαβε δὲ τὴν Εὔριππον. καὶ ἐπεὶ προσκυνῆσαι οὐκ ἠθέλησαν, ἀπέκτεινε πάντας ἄνδρας τοὺς πλέον τῶν ιβ′ ἐτῶν. ἔλαβε δὲ καὶ τὴν Φθελίαν καὶ τὸ Γαρδίκιον· ἀφῆκε δὲ ταῦτα ἄοικα, πάντα τὸν λαὸν ἐν Κωνσταντινουπόλει κομίσας, ὅπου

scesium, hoc est munus quod patriarcha novo creato datur, quingentorum aureorum. hac sua malitia et ambitione ad honorem alterius grassatus supremum ecclesiae solium conscendit, Symeone denuo inde deiecto. seditione tunc adversus eum orta noluerunt ei sacerdotes in sacris una obeundis adesse. attamen diversae religionis hominum metu, quamvis inviti, una sacris operati sunt. in tantum autem insulsus ille barbarus in ebrietatem erat immersus, ut ne in sanctissima quidem paschatis hebdomade, in peragendo ecclesiae munia, pedibus insistere suis prae temulentia posset. unde omnibus odio erat, praesertim cum lingua quoque barbarus esset. annuo vero spatio exacto, cum tributum dare non posset (nemo enim, nec de clero nec de populo, quicquam eo conferebat, ne obolum quidem), coniectus fuit in carcerem. inde postea emissus cum passim, catenam de more gestans, stipem colligeret, mortuus est. synodo itaque coacta, re communi consilio deliberata, factus est patriarcha is qui magni ecclesiarchae personam sustinebat; quem nomine mutato Maximum nuncuparunt.

Anno a mundo condito sexies millesimo nongentesimo septuagesimo octavo sultanus bellum Venetis fecit, terra marique aggressus. expugnavit Chalcidem Euboeae; ubi quicquid masculini sexus duodecimum aetatis annum excedens erat, interfecit propter deditionem recusatam. cepit et Phtheliam atque Gardicium; quae ambo incolis vacua fecit, omni eorum populo Constantinopolin tralato; quo etiam

ἐκόμισε καὶ πάσας τὰς γυναῖκας καὶ τὰ παιδία τὰ τῆς Εὐρίπου. τῷ ἔτει δὲ τούτῳ γέγονε θανατικὸν μέγα καὶ ἐξαίσιον, ὅπερ ἐκ πολλῶν χρόνων οὐκ ἐγένετο, διὰ τὸ συναχθῆναι πολλοὺς ἐκ διαφόρων πόλεων, οἵ τινες ἦσαν ἀσυνήθεις τῆς πόλεως.

Μετ' οὐ πολὺ δὲ πορευθεὶς ἔλαβε τὸν Καφάν, τοὺς Θεοδώρους, τὴν Γοτθίαν καὶ πᾶσαν τὴν περίχωρον ἄνευ πολέμου τινός, καὶ ἔφερεν αὐτοὺς σουργούνιδας. οὐδ' ὅλως γὰρ ἡσύχασεν ὁ κακὸς ἐχθρὸς οὗτος καὶ ἀφανιστὴς τοῦ γένους Χριστιανῶν, ἀλλ' ὥσπερ ἀγέλας προβάτων ἔφερε κατ' ἔτος τοὺς δυστυχεῖς Γραικούς, οὓς μὲν πωλῶν, οὓς δὲ καὶ δωρούμενος τοῖς βουλομένοις. τοιαύτη θεοῦ ἀνοχὴ καὶ παραχώρησις ἐγένετο.

Εὐτυχὴς δὲ φαινόμενος πρὸς πολλοὺς καὶ ταῖς νίκαις ἐπαρθεὶς ὁ κατάρατος ἐστράτευσε καὶ κατὰ τοῦ Μπελιγράδη, ὅτε ἡ Σερβία προσεκύνησεν αὐτῷ. πλὴν εἰς τὴν ἐκστρατείαν ταύτην τοῦ Μπελιγράδη ἀπώλεσε πᾶσαν τὴν ἀποσκευὴν τὴν χρειώδη τοῦ πολέμου, ὅπλα ἵππους καμήλους σκηνὰς καὶ ἄλλον πλοῦτον πολύν, ἃ ἀφέντες διά τι αἰφνίδιον ἔφυγον. ὁ δὲ τρόπος τῆς ζημίας αὐτῶν ἐγένετο οὕτως. ὁ στρατηγὸς Ἴαγγος ἀκούσας ὅτι οἱ Ἀγαρηνοὶ παρακάθηνται τὸ φρούριον Μπελιγράδη, παραγενόμενος μετὰ τρισχιλίων ἀνθρώπων κρυ-

cunctas feminas et pueros Chalcidis deportavit. eodem anno maxima pestilentia laboratum est Byzantii, quanta non extiterat multis annis. causa eius fuit multitudo hominum e variis civitatibus illo congregatorum, qui aëri urbis insueti erant.

Haud multo post, expeditione suscepta, Capham cepit, Theodoros et Gotthiam et omnem circa regionem, sine ulla dimicatione. inde colonos in urbem deduxit. nullo modo enim iste teter hostis quiescebat, Christiani generis depopulator: sed ovium instar infelices Graecos annuatim agebat, alios vendens, alios cuivis volenti donans. ea fuit tolerantia et permissio dei.

Tam secundo fortunae flatu iste execrabilis usus, rerumque gestarum gloria elatus, exercitum quoque adversus Belgradum duxit; quo tempore etiam Servia se illi submisit. verum in hac Belgradica expeditione amisit omnia belli impedimenta, et quae usui essent, arma, equos, camelos, tentoria, alias opes magnas. his enim subito pavore relictis Turcae aufugerunt. quae iactura quomodo acciderit, exponam. dux Ioannes Huniades postquam audivit Belgradum a barbaris obsideri, accessit occulte cum tribus armatorum milibus, oppidumque intravit. ibi domos praesidiis bene armatis firmavit, interdicens ne prius inde exirent quam tubae clangorem audivissent. paruerunt illi diligenter.

φίως εὑρέθη ἔνδον, καὶ ἐνέβαλε τοῖς οἴκοις ὡπλισμένους καλῶς, παρήγγειλε δὲ αὐτοῖς μὴ ἐξελθεῖν ἕως οὗ ἀκούσωσι τὴν φωνὴν τῆς σάλπιγγος· ὃ καὶ ἐποίησαν. ἀναβὰς οὖν αὐτὸς ἐπὶ τόπου ὑψηλοῦ ἐθεώρει τί οἱ Ἀγαρηνοὶ κατεργάζονται. ἐπειδὴ δὲ ἐθεάσατο τέλος ὅτι ἠφάνισαν τὰ τείχη μετὰ τῶν σκευῶν καὶ ἔθεντο κλίμακας καὶ ἀνέβαινον ἀπὸ τὰς χαλά-
26 στριας, συλλαμβάνοντες τὰ πλήθη αἰχμάλωτα, τότε εὐθέως ἐξελθὼν καὶ κρούσας τὴν σάλπιγγα ἐξῆλθον πάντες, καὶ ἐπιπεσόντες αἴφνης τοῖς Ἀγαρηνοῖς, ὡς εὗρον αὐτοὺς διαμεμερισμένους καὶ τοὺς πλείονας ἔνδον τῶν οἴκων, ἐνίκησαν καὶ εἰς φυγὴν ἔτρεψαν, καὶ οὕτως ἀπέκτειναν πολλούς, ἐκρήμνισαν ἀπὸ τῶν τειχῶν, καὶ παντοιοτρόπως τὴν παντελῆ ἀπώλειαν τῶν ἔνδον ἐποίησαν. ταῦτα δὲ ἐνωτισθέντες καὶ θεασάμενοι οἱ ἐν ταῖς σκηναῖς τὴν ἀθρόαν μεταβολὴν τὴν ἀπὸ νίκης εἰς ἧτταν μεγάλην, ἐγκαταλιπόντες πάντα ἔφυγον, τῶν ὄπισθεν μὴ φροντίζοντες. καὶ οὕτως οἱ Οὔγγροι οἱ μετὰ τοῦ Ἰάγγου καταδραμόντες αὐτῶν συνέλαβον πάντα, ἃ δὴ καὶ συναθροίσαντες εἰς ἓν καὶ μηδέν τι καταδεξάμενοι λαβεῖν, θέντες πῦρ ἐτέφρωσαν ἅπαντα. οὕτως οὖν αἰσχυνθέντες ἀπέφυγον, ἀποβαλόντες πολλὰ καὶ πολλοὺς ἄνδρας.

Μετὰ δὲ παραδρομὴν ἐτῶν δύο ἔπεμψε τὸν Μεσὶχ πασιᾶν μετὰ δυνάμεως πολλῆς ἀπό τε ξηρᾶς καὶ θαλάσσης κατα τῆς Ῥόδου· οἳ δὴ καὶ ἐκεῖ ἀπελθόντες καὶ ταύτην πολιορ-

ipse, loco editiore conscenso, ex alto actiones hostium speculabatur. ibi conspicatus tandem moenium partem tormentis ab illis esse disiectam, scalisque appositis per ruinas ascendi, invadi et capi obvios quosque, confestim loco illo egressus tubae cantu excivit omnes. qui, eruptione repentina in Agarenos facta, ut reppererunt eos divisos et maiorem eorum partem intra domos, manus conseruerunt, fusosque in fugam verterunt. magnam eorum caedem fecerunt; de muris praecipites deturbarunt; omnis denique generis perniciem in eos qui oppidum iniverant effecerunt. haec ubi audiverunt et viderunt qui foris in tentoriis remanserant, aleam scilicet belli mutatam esse, a victoria ad cladem insignem recidisse, mox omnibus rebus derelictis fugae se mandarunt, nulla ratione a tergo remanentium habita. hoc modo Ungari, qui cum Ioanne erant, incursione violenta facta, universa praeda potiti sunt. quam in unum acervum congestam, nulla re inde sibi reservata, iniecto igni in favillam redegerunt cunctam. ita turpissima fuga obsidione abscesserunt, magna vi opum, magno numero hominum amissis.

Biennio elapso Mesicum bassam sultanus cum valido exercitu, terrestri et marino, contra insulam Rhodum misit. quo cum venis-

κήσαντες ἐποίησαν οὐδέν. ἐχάλασαν γὰρ μέρος ἀπὸ τῶν τειχῶν αὐτῆς μετὰ σκευῶν, καὶ ὥρμησε τὸ πλῆθος ἐξέρχεσθαι· οἱ δὲ Ῥόδιοι μηχανησάμενοι καὶ ποιήσαντες ἔνδον λάκκους διὰ χωμάτων ἐσκέπασαν. τοὺς ὁρμῶντας οὖν οὕτως ἠφάνιζον ἀεὶ τοὺς εἰσπίπτοντας, τῶν χωμάτων ἀποσπασθέντων καὶ καταπεσόντων ἐν τοῖς λάκκοις, ὅπου ἦσαν ζηβῆναι δόρατα καὶ πᾶν εἶδος ὅμοιον ξίφους ὄρθια ὡσεὶ σκόλοπες ἱστάμεναι καὶ πάτταλοι. καὶ οὕτω διαπερώμενοι καὶ διακεντούμενοι ἀξίως πολλοὶ ἀθλίως ἀπώλοντο καὶ κατεσφάγησαν. ἀκούσαντες δὲ οἱ ἔξω τί εἰς τοὺς εἰστρέχοντας ἐγένετο καὶ βίᾳ μετὰ ἀλαλαγμοῦ εἰσορμῶντας, ἔφυγον ὄπισθεν. καὶ οὕτω καὶ ἄλλας μηχανὰς καὶ πολέμους κινήσαντες καὶ οὐδὲν ἰσχύσαντες ἀνεχώρησαν ἐκεῖθεν κενοὶ μετὰ μεγάλης ζημίας καὶ ἀπωλείας.

Πατριαρχεύοντος δὲ κυροῦ Μαξίμου τοῦ λογίου τὰ τῆς ἐκκλησίας ἅπαντα εἰρηνικῶς διέκειντο παυσαμένων τῶν σκανδάλων. ἐποίμαινε δὲ τὸν λαὸν τοῦ θεοῦ ἐν παιδείᾳ καὶ νουθεσίᾳ, διδάσκων ἐπ' ἄμβωνος τοῦ πατριαρχείου καὶ ἐν ἄλλαις ἐκκλησίαις τὸν λόγον θεοῦ ἀκωλύτως παρρησίᾳ, κατὰ πᾶσαν κυριακὴν λέγων καὶ ἑορτήν. ὑπῆρχε δὲ φιλόσοφος, καὶ πλά- 27
τος λόγου ἔχων πολύ, ὡς οὐδεὶς τῶν κατὰ τὸν καίρον ἐκεῖνον. καὶ τόσον διεφημίσθη ὅτι καὶ ἡ λογιότης αὐτοῦ καὶ ἡ σοφία

sent, urbem obsederunt illam quidem, sed nihil effecerunt. verberato enim tormentis muro et parte prostrata multitudo barbarorum castris egressa irruere illac paravit. Rhodii vero defensionem contra moliti sunt, fossis caecis intra moenia factis iniectaque materia contectis. promptissimum igitur quemque hostium irruentem interemerunt, praecipitatum materia illa cedente in tales fossas, in quibus iacula, hastae, et quicquid gladiis simile, tanquam acutissimi valli et stipites, erecta stabant. quibus illi sese induentes iisque transfixi miserrime magno numero perierunt, dignum conatu suo exitium nacti. cumque, qui foris erant, auditu percepissent quid illis intro currentibus et magno ululatu irrumpentibus factum esset, pedem referentes fugae se trepidi commendarunt. alia denique machinati, postquam plures pugnas nequicquam civissent, illinc re infecta discesserunt, magna clade accepta, magno suorum numero amisso.

Summa rerum sacrarum ad virum eruditum Maximum relata, totius ecclesiae status pacatus cernebatur, omnibus dissidiis e medio sublatis. pascebat is populum dei erudiendo et ad pietatem animos informando, docens ex suggesto patriarchei templisque aliis verbum dei liberrime, nemine impediente, singulis dominicis et festis diebus concionans. erat disciplinis philosophicis perpolitus, et profluente quadam orationis copia supra quam quisquam alius illis temporibus praeditus. ac tantum percrebuit fama eruditionis ipsius et sapientiae, ut ad au-

ἔφθασε καὶ εἰς τὰ τοῦ σουλτάνου Ἀγαρηνῶν ὦτα, καὶ ἔπεμψε καὶ ἠξίωσεν αὐτὸν ἵνα ποιήσηται ἐξήγησιν εἰς τὸ ἅγιον σύμβολον τῆς πίστεως τῶν Χριστιανῶν καὶ δώσῃ αὐτῷ ταύτην. ποιησάμενος οὖν τὴν ἐξήγησιν τοῦ συμβόλου ἀνυποστόλως, θεολογικώτατα καὶ σοφώτατα συνθέμενος, ὡς ἐν πολλοῖς φαίνεται, δέδωκεν αὐτῷ. καὶ μεταγλωττίσαντες πάντα καλῶς ἐν Ἀράβων γλώσσῃ, ἀνέγνω κατὰ ἀκρίβειαν καὶ χαριέντως ἐδέχετο καὶ εὐλαβῶς, ἀναγκαζόμενος εἰς ταῦτα παρά τινων νέων ὄντων ἔτι Χριστιανῶν ἔνδον τῆς αὐλῆς τοῦ παλατίου αὐτοῦ, καὶ μᾶλλον παρὰ τοῦ υἱοῦ τοῦ Ἀμυρούτζη, ὃς ὡς ἦν λογιώτατος εἰς τὸ Ἑλληνικόν, οὕτως ἐγένετο καὶ εἰς τὸ Ἀραβικόν. ὅστις καὶ ἀξιωθεὶς παρὰ τοῦ σουλτάνου ὁρισμῷ τούτου μετεγλώττισε βιβλία πολλὰ ἐκ τῶν ἡμετέρων καὶ πάντα τὰ γραμματεῖα καὶ τοὺς κώδικας τοὺς βασιλικοὺς καὶ ἄλλα χρειώδη καὶ πολλὰ περὶ πίστεως. ὁ σουλτᾶνος γὰρ οὐκ ἐπαύετο ἐρωτῶν, μαθεῖν ἀεί τι καὶ πιστωθῆναι περὶ τῆς Χριστιανῶν πίστεως βουλόμενος. ἀλλ' οὐδὲν ἐγένετο· εἰς γὰρ ἀσυνέτου καρδίαν θεὸς οὐκ εἰσελεύσεται.

Μετὰ τῶν ἄλλων οὖν ὧν ἠρώτα καὶ ἐμάνθανεν, ἤκουσε καὶ περὶ τοῦ ἀφορισμοῦ, ὅτι ὃν ἂν οἱ ἀρχιερεῖς καὶ ἱερεῖς τῶν Χριστιανῶν ἀφορίσωσιν εὐλόγως, ὅτε τις ἀδικήσῃ ἢ πταίσῃ, οὐ διαλύεται ἐν τῇ γῇ, ἀλλὰ μένει τὸ σῶμα αὐτοῦ

res etiam Agareni regis pervenerit. accitum itaque rogavit, scriberet explicationem S. symboli fidei Christianae, sibique daret. paruit hic, commentario cum omni libertate e sacra theologorum disciplina optime sapientissimeque confecto, sicut res ipsa in multis loquitur; atque sultano obtulit. quem librum per omnia bene in Arabicam linguam conversum ipse diligenter legit, clementer accipiens et reverenter; ad id faciendum cum ab aliquot palatii sui aulicis iuvenibus (Christianae enim adhuc ibi religionis nonnulli erant) adactus, tum inprimis a filio Amerutzae, qui par erat in utriusque linguae facultate, Graecae et Arabicae, impulsus. multos hic vir rogatu et iussu regis nostrorum librorum in Turcicam transtulit linguam, omnia quidem acta et tabulas publicas, codices imperatorios, alia utilia; multa etiam religionis nostrae. non cessabat enim sciscitari sultanus, identidem aliquid cognoscere et certior fieri de fide Christiana studens. at nihil ad salutem profecit: non enim deus in stolidi corde locum habet.

Inter alia quae interrogans discebat, etiam de anathemate seu excommunicatione audivit, videlicet, quicunque a pontificibus et sacerdotibus Christianis iusta de causa, ob peccatum aut scelus, e sacro coetu expellatur, hunc talem humatum non dissolvi in terram, sed manere corpus eius indissolutum et integrum in terra, conspici-

ἀδιάλυτον καὶ σῶον ἐν γῇ, καὶ φαίνονται, ὅτε τις τάφος ἀφω-
ρισμένου ἀνεωχθῇ, ὡς τύμπανα καὶ μέλανες, ἀποβαλόντες
οὐδὲν ἐκ τῶν μελῶν, οὐδὲ αὐτὰς τὰς τρίχας, καὶ ὅτι, ἐπὰν
αὐτῷ συγχωρήσωσι δι' εὐχῆς καὶ ἐπικλήσεως θεοῦ, λύεται πά-
λιν καὶ κόνις γίνεται. μετεκαλέσατο ταῦτα ἐνωτισάμενος τὸν
πατριάρχην, ἵνα τὸ τοιοῦτον πιστώσῃ αὐτῷ. ὃς δὴ ἀπελθὼν
καὶ ταῦτα ἀκούσας παρὰ τοῦ σουλτάνου ὑπέσχετο φανερώσειν
αὐτῷ, εὑρεθέντος τινὸς προτεθνηκότος ἐν ἀφορισμοῦ βάρει.
ἐλθόντος οὖν ἐν πατριαρχείῳ τοῦ πατριάρχου, καὶ σκέψεως
γινομένης περί τινος φθάσαντος τελευτῆσαι ἐν βάρει ἀφορισμοῦ,
ἐνενοήθησαν ὅτι γυνή τις ἀσελγὴς οὖσα διεφήμισε καὶ κατὰ
πατριάρχου ὅτι συνεγένετο αὐτῇ, ἧς φήμης διασπαρείσης τι-
νὲς ἐπίστευον. ὃς ταῦτα ἀκούσας ἐξεφώνησεν ἀφορισμὸν ἐν
μιᾷ τῶν ἑορτῶν. καὶ δὴ ἐκ πολλοῦ ἀποθανούσης τῆς γυναι- 28
κὸς ταύτης, ὡς ἐλπίζοντος τοῦ πατριάρχου ὅτι ἐν ἀφορισμῷ
μένει οἷα κατήγορος τοιούτου ἀνδρός, ἠνέῳξε τὸ μνῆμα. καὶ
(ὢ τῶν θαυμασίων θεοῦ) εὑρέθη ὡς ἐτέθη, ἐξωγκωμένη δὲ
μόνον καὶ μέλαινα, μὴ ἀποβαλοῦσα οὐδὲ τὰς ἐν κεφαλῇ τρί-
χας. καὶ τότε δὴ διεμηνύσατο τῷ σουλτάνῳ, ὃς ἔπεμψεν
ἰδίους ἀνθρώπους καὶ ἐθεάσαντο αὐτήν, οἳ καὶ θεασάμενοι
ταύτην ἐξεπλάγησαν καὶ ἐθαύμασαν· καὶ ἔθεντο ἐν κιβωτίῳ
καὶ ἠσφάλισαν αὐτὸ διὰ βούλλας τοῦ βασιλέως. ἔταξαν οὖν

que, sepulcro talis hominis aperto, cadaver instar tympani inflatum et nigrum, nullo membro amisso, ne ipso quidem capillo. rursus si veniam precibus et invocatione numinis divini ei impetrent, dissolutionem cadaveris in cinerem fieri. accivit his auditis patriarcham, ut eius rei sibi ab eo fides fieret. qui veniens, audita sultani postulatione, se planum ei facturum promisit, ut primum aliquis succurreret aliquando anathematis oneri immortuus. reverso in domicilium suum patriarcha, cogitatione et dispicientia, si quis praeteritis temporibus ea mole pressus obiisset, suscepta, patribus in mentem venit mulieris cuiusdam libidinosae, quae de quodam patriarcha, hunc ipsa consuevisse, famam sparserat; cui famae non a nemine fuerat habita fides. is vero, improbitate cognita, anathemati illam quodam die festo subiecerat. quae mulier cum longo ante tempore e vivis excessisset, patriarcha existimans eam, quia tantum virum infamasset, adhuc anathemate constrictam teneri, sepulcrum eius aperiendum curavit. tunc illa (o miraculum dei) in eo statu quo deposita reperta fuit, tumida turgidaque tantum et nigra, nondum etiam crinibus de capite amissis. re ad sultanum allata misit is ad contemplandam illam certos homines. qui contemplati admiratione obstupuerunt. cadavere deinde in arca posito hanc sigillo regio muniverunt; diem dixerunt,

ἡμέραν ἵνα ἔλθωσι πάλιν καὶ ἴδωσιν. ἐλθόντων δὲ ἐποίησεν ὁ πατριάρχης λειτουργίαν καὶ ἀνέγνω εὐχὴν συγχωρητικήν· ἧς ἀναγινωσκομένης εὐλαβῶς καὶ μετὰ δακρύων, ὢ θαύματος θεοῦ, αἱ ἁρμονίαι τῶν χειρῶν καὶ τῶν ποδῶν διελύοντο ὡς καὶ τοὺς παρεστῶτας ἀκούειν τῶν ψόφων. θέντες δὲ πάλιν τὸ λείψανον καὶ σφραγίσαντες, λυθέντων μόνων τῶν ἁρμονιῶν πάντων, ἐνέβαλον ἐν τῷ παρεκκλησίῳ μετὰ τοῦ κιβωτίου τοῦ ἐσφραγισμένου οὗ εἶχεν αὐτό. μετὰ δὲ παράδρομον τριῶν ἡμερῶν ἐλθόντων τῶν ἀνθρώπων τοῦ βασιλέως καὶ ἀνοιξάντων τὰς σφραγῖδας, εἶδον τὸ σῶμα διαλυθὲν καὶ κόνιν μόνον εὑρόντες ἐθαύμασαν. ἀπελθόντες δὲ καὶ τὰ θεαθέντα ἀναγγείλαντες τῷ σουλτάνῳ, ἐθαύμασε καὶ ἐξεπλάγη εἰπὼν ὅτι θαυμασία καὶ ἀληθὴς ἡ πίστις αὐτῶν τῶν Χριστιανῶν.

Ἦν δὲ φοβερὸς ὁ τοιοῦτος σουλτᾶνος οὐ μόνον τοῖς μεγιστᾶσι αὐτοῦ ἀλλὰ καὶ πᾶσι τοῖς ἄλλοις, ὑπάρχων ἀπροσωπόληπτος καὶ ἐνεργῶν ταχέως πᾶν ὃ ἠβούλετο καὶ κατὰ νοῦν εἶχεν. ἠγάπα δὲ καὶ τοὺς σοφούς, οὐ μόνον τοὺς ἀπὸ τοῦ γένους αὐτοῦ ἀλλὰ καὶ τοὺς ἀπὸ παντοίου γένους καὶ μᾶλλον τοὺς ἡμετέρους τῶν Χριστιανῶν. ἐδιοίκει δὲ τὴν ἀρχὴν αὐτοῦ μετὰ φρονήσεως μεγάλης καὶ ἦν συζητητὴς πολλῶν, οὐδ' ὅλως ἀγνοῶν οὐδὲ τῶν μικροτάτων τῶν ἐν τῇ πόλει πραττομένων· ἐμάνθανε γὰρ πάντα ἄχρι

qua die ad videndum reverterentur. reversis rem divinam patriarcha fecit, recitata et precatione, qua crimen illius aboleretur. quam ut sancte nec sine lacrimis recitavit, en miraculum: articuli manuum pedumque disiungi, vincula solvi, ita ut ab astantibus etiam ossium crepitus audiretur. reposito cadavere et rursus obsignato, cuius tantum nexus omnes dissoluti fuerant, obsignatam arcam, quae id continebat, in sacello patriarchico deposuerunt. post triduum reversis regiis ministris arcaque resignata et aperta, apparuit corpus illud iam dissolutum; de quo nihil restans nisi cinis homines in admirationem adduxit. abeunt ad regem; quae suis oculis viderint renuntiant. admirari ille, stupescere, religionem Christianorum veram et admirandam confiteri.

Erat porro formidabilis iste sultanus; idque non suis modo proceribus sed omnibus etiam aliis. nulla apud illum ratio personae ullius: celer effector omnium rerum quas volebat et in animo habebat. diligebat quoque viros doctos, eosque non suae tantum gentis sed cuiusvis etiam nationis, inprimis ex Christiano genere nostros homines. administrabat regnum magna cum prudentia. multa indagare, multa cognoscere; nihil, ne minimorum quidem quae in urbe gererentur, inexploratum relinquere. certe enim omnia, etiam mi-

καὶ τῶν μικρῶν καὶ μὴ ἀκουσθῆναι αὐτῷ ἀξίων εἰπεῖν. ἐπεριπάτει τὴν νύκτα ἀγνοούμενος καὶ μανθάνων πάντα τὰ γινόμενα. οὐκ ἀφῆκε δέ, ὡς ἔλεγον, οὐδεμίαν ἐργασίαν ἢ πραγματείαν ἀπερισκόπητον, καὶ τί ἕκαστος ἐξ αὐτῆς ἔχει, καὶ τί πᾶς τις ποιεῖ. τοιαύτην ἐπὶ πολὺ ἐποιεῖτο τὴν ἔρευναν ὡς σπουδαιότατα. μαθὼν δὲ καὶ ὅτι οἱ ψάλται τῆς μουσικῆς τῶν ἐκκλησιαστικῶν τῶν Γραικῶν δύνανται γράφειν τὰς με- 29
λῳδίας τῶν Ἀγαρηνῶν, ὥρισε καὶ παρεγένοντο ἐνώπιον αὐτοῦ εἷς ψάλτης καὶ εἷς Πέρσης, ὃν εἶχεν αὐτὸς ἐπιστήμονα καὶ καλὴν ἔχοντα φωνήν. ᾖσεν οὖν οὗτος μέλος Περσικόν, καὶ ὁ ψάλτης ἔγραψεν. ὕστερον δὲ ὥρισεν ὁ αὐθέντης, καὶ παρόντος τοῦ Πέρσου ἔψαλε τοῦτο ὁ ψάλτης ὁμοίως, ὥστε καὶ τὸν Πέρσην καὶ τὸν αὐθέντην θαυμάσαι. ἐδωρήσατο οὖν καὶ ἀμφοτέροις δωρεάς, καὶ ἐξενίζετο τὴν λεπτότητα τοῦ ψάλτου, καὶ ἀφῆκεν αὐτοὺς ἐν ἀγάπῃ καὶ τιμῇ. λέγεται δὲ ὅτι καὶ ὁ Πέρσης ὁ ᾄδων ἐνώπιον τοῦ βασιλέως, ἐπεὶ ἤκουσε τὸν ψάλτην οὕτω μιμησάμενον φωνὴν ξένην καὶ ἣν ἄλλοτε οὔτε ἤκουσεν οὔτε ἐγίνωσκεν, πεσὼν ἐπροσεκύνησεν αὐτὸν εἰπὼν "μεγάλη ἀληθῶς ἡ ἐπιτειδειότης καὶ σοφία τοῦ ψάλτου." ηὔξησε δὲ καὶ ἐτράνωσε τὰ ὅρια τῆς βασιλείας αὐτοῦ πολύ, καὶ ζήσας ἔτη πεντήκοντα ἑπτὰ ἀπέθανε κατὰ τὸ ͵ϛϡπα' ἔτος.

18. πεσὼν A pro πᾶς   21. πεντήκοντα ἑπτὰ add A

nuta personaeque eius auditu ferme non digna, sciscitabatur. nocturno tempore per vias ignotus oberrabat, ut omnes civium actiones disceret ferunt eum praetermisisse nullum opificii aut negotiationis genus, quod non considerarit, et quid ex eo quisque lucri caperet, et quid quisque civis ageret. huiusmodi ille inquisitionem frequenter quam studiosissime faciebat. cumque percepisset Graecorum ecclesiasticae musicae cantores notis quibusdam posse describere cantilenas Agarenicas, iussit in conspectum suum vocari duos cantores, unum psalten Graecum, alterum, quem habebat, scientia et suavitate canendi praestantem Persam. quo Persicam cantilenam dulciter canente, psaltes eam notulis comprehendit. deinde sultano iubente, Persa auscultante, illam psaltes cecinit eodem modo, ita ut tum Persa tum sultanus admiraretur. utrumque ergo muneribus affecit, admiratus ut rem novam ingenium subtile psaltae, ambosque cum gratia et honore dimisit. fertur etiam Persa ille, qui ita coram rege cecinerat, postquam audivisset cantionem psaltae ita feliciter alienam vocem imitantis, quam alias nunquam audivisset nec sciret: summam ei reverentiam exhibuisse, ac dixisse "magna est vere dexteritas et eruditio psaltae." auxit autem hic rex, et valde longe extendit, imperii sui limites. cumque 57 annos vixisset, periit 6988 anno mundi.

Ἐβασίλευσε δὲ ἀντ' αὐτοῦ ὁ υἱὸς αὐτοῦ σουλτὰν Μπαγιαζίτης, ὃς εἶχε καὶ ἕτερον ἀδελφὸν τὸν Τζὲμ σουλτὰν ὄντα ἐν Μαγνησίᾳ. ὁ δὲ βασιλεύσας οὗτος Μπαγιαζίτης, εὑρεθεὶς ἐν Ἀμασείᾳ, ἐπεὶ ὁ πατὴρ αὐτοῦ ἐτελεύτησεν ἐν τοῖς χωρίοις Νικομηδείας, πλησίον ὑπάρξας οὗτος ἀνηγορεύθη βασιλεὺς τῆς πόλεως· οὗ τὸν υἱὸν νήπιον ὄντα καὶ ἐν τῇ πόλει εὑρεθέντα ἀνηγόρευσαν πρῶτον αὐθέντην, ἐπεὶ στάσις οὐ μικρὰ ἐγένετο, ὥστε φονευθῆναι καὶ πασιᾶν ἕνα καὶ ἄλλους πολλούς· καὶ οὕτως ἔπαυσεν ἡ στάσις. μετὰ δὲ ἡμέρας τινὰς ἦλθε καὶ ὁ πατὴρ αὐτοῦ, καὶ ἐκάθισεν εἰς τὴν βασιλείαν. τοῦτον δὲ τὸν υἱὸν αὐτοῦ ἔπεμψεν ἐν Μαγνησίᾳ, δοὺς αὐτῷ καὶ σκῆπτρον καὶ ἀξίαν μεγάλην. ἔδωκεν ὁμοίως δὲ καὶ τοῖς ἄλλοις υἱοῖς αὐτοῦ, τῷ μὲν Ἀχουμάτῃ τὴν Ἀμάσειαν, τῷ δὲ Σὰχ τὴν Καραμανίαν, τῷ δὲ Μαχουμέτῃ τὴν Κασταμόνην, τῷ Σελήμῃ τὴν Τραπεζοῦντα, τῷ Μεχεμέτῃ τὸν Καφᾶν, ὅστις καὶ μετ' ὀλίγον ἐτελεύτησεν. οὕτω διεμέρισε τοῖς υἱοῖς αὐτοῦ τὴν ἀνατολήν.

Ἅμα δὲ τῷ ἡγεμονεῦσαι ἀπέκτεινε τὸν Ἀχουμὰτ πασιᾶν, ἄνδρα πολεμικὸν καὶ ἀγαπώμενον παρὰ πάντων, ὃς πολλὰ κατώρθωσε, καὶ μᾶλλον ἐν τῇ Πουλίᾳ ἐν τῷ Ὀτρόντῳ, καὶ ἤνεγκεν ἐκεῖθεν αἰχμάλωτα πολλὰ καὶ πλοῦτον καὶ ἄλλα. οὐκ οἶδε δέ τις πῶς αὐτῷ ἐφθόνησε καὶ αὐτὸν ἀπέκτεινεν.

1482 Secutus est eum in regno filius suus Baiazita; qui habebat fratrem nomine Zemam, Magnesiae habitantem. iste vero Baiazita, Amasiae vivens, posteaquam pater eius in agro Nicomediensi mortem obierat, quo propius ab eo loco aberat: eo citius re cognita renuntiatus est rex urbis. antea tamen quam eo venisset, filius eius aetate adhuc infans, in urbe ipsa educatus renuntiatus fuit, cum quidem seditio non parva ob creandum regem coorta fuisset, ita ut res ad manus et pugnam veniret, inter alios multos etiam uno de bassis interfecto. sed pueri renuntiatione finis tumultui factus est. post aliquot dierum intervallum advenit pater ipsius, regnique sedem occupavit, hoc suo filio Magnesiam amandato; cui sceptrum dedit et magnam dignitatem contulit. pari beneficentia liberaliter in caeteros quoque filios suos usus est, Achumatae Amasia concessa, Sacho Cilicia, Machumetae Castamone, Selimae Trapezunte, Mechemetae Capha; qui et paulo post mortuus est. ad hunc modum liberis suis Orientis partes divisit.

Statim autem ab inito imperio Achumatam bassam interemit, virum bellica laude clarum et omnibus carum. multa hic fortiter gesserat, cum alibi tum in Apulia, apud Hydruntem, multis inde captivis, magna praeda et opibus adductis. nec scitur unde fuerit invidiae odiique origo, causam caedi eius dans.

Εἶτα στρατεύει ἐν Μαγνησίᾳ κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, ὃς τοῦτο ἀκούσας, ὅτι στρατεύει κατ' αὐτοῦ, ἐμβὰς εἰς ἃ εἶχε πλοιάρια ἔφυγε καὶ ἀπῆλθεν εἰς Αἴγυπτον, ζητῶν παρὰ τοῦ ἐκεῖ σουλτάνου βοήθειαν πρὸς τὸ ἀντιτάξασθαι τῷ ἀδελφῷ. ἀποτυχὼν δὲ ἀπελθεῖν εἰς προσκύνησιν εἰς Μέκκαν ἠθέλησεν. ὡς δὲ καὶ τοῦτο ἐκώλυσεν αὐτόν, ἔφυγε πάλιν καὶ ἀνῆλθεν εἰς Ῥόδον. ὑπεδέξαντο δὲ αὐτὸν οἱ Ῥόδιοι μετὰ χαρᾶς. ἐν ὅσῳ δὲ ἦν ἐκεῖ, οὐ διέλειπεν ὁ ἀδελφὸς αὐτοῦ, ὁ βασιλεὺς φημὶ τῆς πόλεως, πέμπειν δωρεὰς πρὸς τοὺς ἐκεῖ, ἵνα φυλάττωσιν αὐτὸν ἀσφαλῶς. χρόνων δέ τινων διαδραμόντων ἀφῆκαν αὐτὸν γνώμῃ καὶ τοῦ ἀδελφοῦ, καὶ ἀπῆλθεν εἰς Γένουβαν. ἐφοβεῖτο γὰρ ὁ ἀδελφὸς ἵνα μὴ περάσῃ ἐν τῇ ἀνατολῇ καὶ ποιήσῃ σκάνδαλον καὶ πόλεμοι γένωνται· ἐφοβεῖτο δὲ τὸ πλέον ἐκ τῶν Βαρσακίδων, οἳ οὐ καλῶς διέκειντο αὐτῷ. ἐποιήσαντο οὖν βουλὴν μετά τε τῶν Βαρσακίδων, μετὰ τῶν Τουρκατυρλίδων καὶ Καραμανιδῶν, ὅπως ποιήσωσι τὸν Τζέμην αὐθέντην ἐν τῇ ἀνατολῇ. ὃ δὴ ἐνωτισάμενος ὁ σουλτᾶνος τῆς πόλεως ἐμήνυσε τοῖς Ῥοδίοις, καὶ ἔπεμψαν αὐτὸν ἐν Ἰταλίᾳ. τέλος δὲ ἐκεῖ διερχόμενος κατήντησεν ἐν Ῥώμῃ. ὑπάρχοντος δὲ αὐτοῦ ἐκεῖ, διεμηνύσατο τοῖς Βενετίκοις, ἔχων φιλίαν μετ' αὐτῶν, ἵνα φαρμάκῳ διαφθείρωσιν αὐτόν. ὃ δὴ καὶ ἐποίησαν· ἔπεμψαν γὰρ πρὸς αὐτὸν ἀρ-

5. ἐν τῷ μεκὲ C

Posthac in expeditionem Magnesiam versus contra fratrem profectus est; qui hoc audito, nempe in se iri, conscensis, quae tunc suppetebant, navigiolis profugit in Aegyptum, ab huius sultano supplex opem, qua fratri obviam ire posset, petens. qua spe frustratus, Mecham ut religionis ergo peregrinaretur, in animum indúxit. sed hoc etiam conatu a fratre deiectus, rursus fugam capessens, Rhodum petiit, ibique humaniter et cum gratulatione exceptus fuit. quamdiu autem ibi commoratus est, sine intermissione frater eius, rex urbis, dona ad primores illius loci misit, petens illum tuto, ne qua effugeret, custodiri. aliquanto deinde tempore exacto inde emissus est, de sententia etiam fratris; ac se Genuam contulit. metuebat quippe rex ne in Orientem transiens turbas excitaret, e quibus bellum civile existeret. magis autem metu Barsacidarum commovebatur, quos animis non bene erga se affectos sciebat. initum nempe inter Barsacidas et Turcatyrlidas et Caramanidas (sic Cilices hodie appellantur) consilium creandi Zemae in Oriente regis erat. quod cum ad aures sultani urbis pervenisset, de eo Rhodios certiores fecit, qui hominem in Italiam ablegarunt. quo postquam delatus fuit, variis ibi peragratis locis tandem Romam incidit. ubi cum esset, cum Venetis pacem

χοντά τινα ἐπιτήδειον, ἐπιστάμενον τὴν Ἀράβων γλῶσσαν καλῶς, ὃς δὴ καὶ φιλίαν ὑποκριθεὶς ἔφαγε καὶ ἔπιε μετ' αὐτοῦ. καὶ οὕτω συνδιάγων ἐφάνη τελευτήσας ἐπὶ σημείοις φαρμακῶν. ἔπεμψαν δὲ τὸν νεκρὸν αὐτοῦ ἐν Προύσῃ. ὕστερον δὲ ἐπέμφθησαν δῶρα τοῖς Βενετίκοις, καὶ ἐγένετο καὶ φιλία μεγάλη, πλὴν δολία καὶ εἰς κακόν. ἔπεμψαν δὲ καὶ ἐν πόλει τὸν δολιευσάμενον τὴν φαρμακοποσίαν καὶ τὸν θάνατον τοῦ Τζέμη αὐτοῦ, ᾧ ἐδωρήσατο ὁ αὐθέντης τῆς πόλεως, ὁ σουλτᾶνος, πολλά, ἵππους, ἱμάτια χρυσοῦφαντα καὶ ἄλλα. ἦλθε δὲ ἐπὶ ὀνόματι ἀποκρισιαρίου διὰ τὸ ἀνύποπτον. οὕτως οὖν ἐνδιάγων ἐν τιμῇ καὶ δωρεαῖς βασιλέως, ὡραῖος ὢν κάλλει ὑπὲρ πολλούς, εὑρέθη ἐν μιᾷ τῶν ἡμερῶν τεθνηκὼς αἴφνης, οὔτε ἀσθενήσας οὔτε τι μαλακισθείς. οἶμαι δὲ ἔπιεν ἐξ' οὗ ἐκέρασεν, ἐν ᾧ μέτρῳ μετρήσας ἀντιμετρηθεὶς καὶ τὸ ζῆν ἐκμετρήσας.

31 Ἐν δευτέρῳ δὲ ἔτει τῆς ἀρχῆς αὐτοῦ ἐστράτευσε κατὰ Μολδοβλαχίας, καὶ ᾐχμαλώτισε τὸ Κελλήν, τὸ ἀσπρόκαστρον καὶ ἄλλα, λαβὼν πάντας αἰχμαλώτους, ἄνδρας καὶ γυναῖκας, καὶ κομίσας ἐν πόλει. τὸ δὲ αἴτιον ἦν τῆς τοιαύτης ἐκστρατείας ὅτι ὁ πρώην Μολδαυίας ἄρχων ἐποίησε πόλεμον μετὰ

20. πογδανίας C

et amicitiam sultanus habens, missa legatione, ab eis petit ut veneno illum de medio tollerent. quod et ab iis factum est. nam hominem claro loco ortum, eius rei artificem, Turcicae linguae bene peritum ad illum allegarunt. salutare hic comiter, in amicitiam se insinuare, una cibum capere. hoc convictu ita calente extinctus iacuit miser, haud obscuris veneni signis apparentibus. cadaver inde Prusam missum. insecuto tempore munera Venetias missa, gratiae amplis verbis actae, benevolentiae et amicitiae significatio illustris. sed latebat anguis in herba. missus et a Venetis in Constantini urbem veneficus ille propinator, mortis ipsi Zemae structor. qui ut venit, multis a sultano muneribus affectus est, equis, aurea veste et id genus aliis. venerat autem nomine et praetextu legati, quod nihil malae suspicionis esset. hoc modo ibi degens in honore et donis regiis, cum pulchritudine corporis praecederet multos, die quodam, en, repertus est repentino mortuus, nulla antegressa corporis infirmitate, aegritudine nulla. biberat scilicet bonus vir ex quo miscuerat, eadem mensura, qua mensus fuerat, recepta, vitaeque curriculo emenso.

1484 Altero anno imperii in Moldovalachiam copias sultanus duxit. cepit oppida, Ciliam, Asprocastrum et alia. inde quicquid virorum feminarumque cepit, in urbem traduxit. causa huius expeditionis erat quod superior Moldaviae princeps sultano Mechemetae bellum fecerat, in quo victoria potitus magnum Turcarum numerum deleve-

τοῦ σουλτὰν Μεχεμὲτ καὶ ἐνίκησεν αὐτόν, ἀφανίσας πλῆθος Ἀγαρηνῶν. ὅθεν οὗτος ἐπορεύθη κατ' αὐτοῦ, καὶ ταῦτα ἐποίησε τὰ δεινά.

Μετὰ δὲ παραδρομὴν ἐτῶν δέκα στρατεύει κατὰ τῶν Ἀλβανιτῶν. πορευθεὶς δὲ οὐδὲν ἴσχυσε, κωλυόμενος ἀπὸ τὸ τοῦ τόπου δύσβατον πετρῶδες καὶ ὀρεσίβατον, οὗ ἔχουσι τὴν οἴκησιν· ἵπποι ἀναβαίνειν ἐκεῖ ἀδυνατοῦσιν. οὐδὲν δὲ ἄλλο ἐποίησαν, πλὴν ἁρπάσαντες τοὺς τυχόντας, ἄνδρας τε καὶ γυναῖκας, καὶ πυρπολήσαντες πολλά, ἐν Κωνσταντίνου ἦλθον.

Οἱ δὲ Βενετίκοι ἐκτελέσαντες τὸν ἀδελφοῦ θάνατον τοῦ σουλτάνου ἤλπιζον εὑρεῖν τιμὴν παρὰ τῶν Ἀγαρηνῶν καὶ φιλίαν ἐφ' ὅρῳ ζωῆς, μὴ γινώσκοντες ὅτι ἡ φιλία αὐτῶν ψευδὴς καὶ δολία· ὅθεν καὶ ἐκαθέζοντο ἐν ἀμελείᾳ. οἱ δὲ Ἀγαρηνοὶ μενούσης τῆς εἰρήνης ᾠκονόμησαν πλοῖα στόλον πολλὰ καὶ ὥρμησαν κατ' αὐτῶν ἀπό τε ξηρᾶς καὶ θαλάσσης μετὰ τοῦ σουλτάνου ὁμοῦ. ἦν δὴ ἐν τῷ στόλῳ καπετάνιος ὁ Μουσταφα-πασιᾶς, ὃς γέγονεν ὕστερον καὶ βεζίρης. ἐχόντων δὲ τῶν Ἀγαρηνῶν στόλον πολὺν (ἐπέκεινα τῶν τριακοσίων, ἄνευ τῶν φορτηγῶν πλοίων τῶν μεγάλων καὶ δύο Μαγούνων τοῦ Κιαμάλη καὶ τὴν τοῦ Μπαρὰκ ῥεΐζη) εὑρέθη τῶν Βενετίκων καπετάνιος ὁ Λουρδᾶς· καὶ θεασάμενος τὸ πλοῖον τοῦ

rat. hinc causa accepta Baiazites ab urbe contra eum movit huiusmodique maleficia regioni intulit.

Post transcursum decennii in Albanos profectus est, nulla re memorabili gesta, 1492 officiente locorum iniquitate, saxorum asperitate et altitudine montium, ubi suas illi sedes habent. eo autem ut ascendant equi, fieri non potest. itaque nihil profecerunt, nisi quod viros et feminas forte obviam factos rapuerunt et incendia multa fecerunt. postea Constantinopolin reditum.

Veneti, sublato fratre sultani, honorem sibi sperabant ab Agarenis et amicitiam per omnes dies vitae illius, nescientes amicitias illorum esse fucatas et fraudulentas. hinc segniter ipsi rebus providere. contra Agareni stante pace magnam classem aedificarunt, terrestrique et marino exercitu, ipso una veniente sultano, in eos iverunt. imperator classis erat bassa Mustaphas, qui postea visiri gra- 1498 dum assecutus est. cum autem Agarenica classis magna et potens esset (triremium equidem amplius trecentarum, praeter magnas onerarias naves et praeter duas ingentes tormentis omnique bellico apparatu instructissimas, Machonas appellatas, unam Ciamalae, alteram Baraci Reizae), advenit Venetorum imperator Lauredanus. hic ubi Baraci navigium conspexit, suspicabatur esse id cui Ciamala praeesset, qui

Μπαράκ, καὶ ὑποπτευθεὶς ὅτι ἔστι τοῦ Κιαμάλη ὅστις ἐκάκωσε τὴν Ἰταλίαν πολλά, ἁρπάσας καὶ ἀφανίσας Χριστιανοὺς οὐκ ὀλίγους, ὥρμησε κατ' αὐτοῦ μετὰ δύο καραβίων μεγάλων, καὶ ἐνέβαλον αὐτὸ εἰς τὸ μέσον καὶ ῥίψαντες ἀλύσσους ἔδησαν. πολέμου δὲ σφοδροῦ γεγονότος ἔπιπτον ἐξ ἑκατέρων πολλοί. θεασάμενος δὲ ὁ Μπαρακ-ῥεΐζης ὅτι οὐκ ἔστιν ἱκανὸς νικῆσαι ἐν τῷ τοιούτῳ πολέμῳ, ἔρριψε πῦρ ἐν μέσῳ τῶν καραβίων, καὶ ἧψαν καὶ τὰ τρία, καὶ οὕτω μὴ δυνηθέντα διαστῆναι ἀπ' ἀλλήλων ἀπετεφρώθησαν καὶ τὰ τρία ἐν μέσῳ τοῦ πελάγους. οἱ ἄνθρωποι δὲ καὶ αὐτὸς ὁ Λουρδᾶς, οἱ μὲν ὑπὸ πολέμου οἱ δὲ ὑπὸ πυρός, ἄλλοι δὲ πεσόντες ἐν θαλάσσῃ καὶ
32 *ἀποπνιγόμενοι, πάντες διεφθάρησαν. καὶ τοῦτο ἀκούσασα ἡ λοιπὴ ἀρμάδα (ὁ στόλος) εἰσῆλθεν εἰς τὸν Ναύπακτον· καὶ οὕτω μὴ δυνηθεῖσα ἡ ἀρμάδα τῶν Βενετίκων τι ποιῆσαι διὰ τὸ εἶναι καὶ ἀπὸ τῆς ξηρᾶς τὸν σουλτᾶνον, ἔμεινεν ἄπρακτος. ἔλαβε δὲ τὸν Ναύπακτον καὶ τὴν χώραν τὴν ἐκεῖ, τὸν Γαλατᾶν καὶ τὰ λοιπὰ χωρία εἰρηνικῶς προσκυνήσαντα αὐτὸν κατὰ τὸ ˏζη' ἔτος. εἶτα ἀνῆλθεν ὁ σουλτᾶνος εἰς Ἀδριανούπολιν μένων ἐκεῖ. ὁ δὲ στόλος ἐποίησε τὸν χειμῶνα ἐν τοῖς μέρεσιν ἐκείνοις καὶ παρέλαβε τὴν Μεθώνην, ὄντος ἔτι ἐκεῖ καὶ τοῦ σουλτάνου τούτου. ἐγένετο δὲ ἡ ἅλωσις αὐτῆς κατὰ τοῦτον τὸν τρόπον. παρακαθημένου τοῦ σουλτάνου καὶ τοῦ στόλου ἐπὶ πολλὰς ἡμέρας καὶ πολεμούντων, καὶ μὴ δυναμέ-*

multum damni Italiae intulerat raptis in servitutem et morti datis Christianis haud paucis. confestim ergo irruere in ipsum duobus magnis navigiis; illud in medium amborum redigere, catenas iniicere et religare. fit pugna vehemens; cadunt utrinque multi. videns autem Baracus Reiza se victoriam obtinere non posse, ignem navibus iniicit, quo omnes tres flagrare coeperunt. cumque inter se cohaererent nec in vicem separari possent, omnes medio mari deflagratae in cineres abierunt. epibatae vero atque ipse adeo Lauredanus, quidam ferro, alii flamma, nonnulli saltu in mare et suffocatione, cuncti perierunt. qua re cognita reliqua classis in portum Naupacti invecta est. unde Venetae classi facultas non fuit quicquam agendi eo quod et in continenti sultanus cum copiis esset. cepit ergo hic Naupactum et adiacentem agrum, Galatam et reliqua oppida, citra pugnam, facta ab his deditione, 7008 anno. post haec gesta sultanus Adrianopolin ascendit ibique mansit. classis autem illis in partibus
1500 hiemavit, capta et Methone, cum quidem tunc rursus sultanus adesset. age vero, quomodo capta sit, dicamus. cum, sultano et classe eam obsidentibus ad multos dies et oppugnantibus, expugnatio nulla succederet (adeo munita erat illa urbs), cumque ab obsidione disces-

νων τι ποιῆσαι διὰ τὸ ὀχυρὸν τῆς πόλεως, καὶ μελλόντων παραιτήσασθαι τὸν κατ' αὐτῆς πόλεμον, ἐφάνησαν ἐν μιᾷ τῶν τοιούτων ἡμερῶν κάτεργα Βενετίκων φέροντα διατροφὰς καὶ ὅπλα καὶ ἀνθρώπους βοήθειαν· ἅτινα θεασάμενοι οἱ ἔνδον Μεθώνης κατῆλθοσαν ἅπαντες εἰς τὸν αἰγιαλὸν ἀσπάσασθαι αὐτοὺς καὶ ἀποδεχθῆναι· ἦν δὲ πρωῒ πρωΐ. θεασάμενοι δὲ οἱ Ἀγαρηνοὶ τὰ ἐπάνω τείχη ἀνθρώπων χωρίς, ἐν μέρεσι μὴ οὖσιν ὑψηλοῖς, θέντες κλίμακας καὶ παττάλους σιδηροῦς ἀνέβησαν, καὶ μᾶλλον οἱ γενίτζαροι, καὶ θέντες σημαίας αὐτῶν ἐβόησαν βοήν, ὡς ἔθος, τῆς νίκης· καὶ οὕτως εἰσῆλθον πολλοὶ καὶ ἥρπαζον γυναῖκας καὶ παιδία. μαθόντες δὲ οἱ ἐν τοῖς μέρεσι τοῦ αἰγιαλοῦ καταβάντες τὴν εἰσβολὴν τῶν Ἀγαρηνῶν ἀνῆλθον εἰς τὰ ἄνω μέρη καὶ ἔρριπτον πῦρ κατ' αὐτῶν καὶ ἄλλα ἐποίησαν πολλά. πλὴν ὑπερίσχυσαν οἱ Ἀγαρηνοὶ καὶ ἔλαβον τὴν πόλιν ταύτην. ἔπειτα συνάξαντες πάντας τοὺς ἄνδρας ἀπὸ ιβ' ἐτῶν καὶ ἄνω ἀπεκεφάλισαν.

Ταῦτα δὲ ἀκούσαντες οἱ ἐν τῇ Κορώνῃ καὶ δειλιάσαντες ἑκόντες ἔπεμψαν τὰς κλεῖς τῆς πόλεως αὐτῶν, τὰ ὅμοια μὴ παθεῖν· καὶ οὕτως ἐποίησαν αὐτοῖς οὐδὲν κακόν, ἓν δὲ μόνον, ὅτι ἐξέβαλον τοῦ φρουρίου καὶ ἀφῆκαν μόνον Ἀγαρηνοὺς φυλάττειν αὐτό. τὰς δὲ ἐναπομεινάσας γυναῖκας καὶ τὰ παι-

5. Μοθώνης A hoc loco et supra

suri essent, conspectae sunt quodam eius temporis die naves a Veneta urbe venientes, ferentes commeatum arma militem salutis obsessorum causa. quibus oppidani visis cuncti in littus ad salutandum excipiendumque decurrerunt, idque summo mane. Agareni ex altera parte conspicati superiora moenia propugnatoribus nudata, ipsi, quibus partibus minus altitudinis erat, scalis admotis uncisque ferreis impactis ascenderunt, in primis ianizari. ibi defixis vexillis suis victoriam more suo conclamarunt. magna iam hinc multitudo ingressa, feminae puerique rapti. tumultu ad illos qui in littus descenderant ex irruptione hostis perlato, continuo ipsi in superiora urbis recurrere, ignem in barbaros iaculari, nihil denique ad defensionem omittere. verum superior res Agarena fuit, urbeque potita est. dehinc, quicquid marium a duodecimo aetatis anno, aut aliquanto superius fuit, in unum locum conductum est et capitali supplicio sublatum.

Haec tristissima cum ad cives Coronae allata essent, pavore exterriti sponte sua claves oppidi sui miserunt, simile a se deprecantes exitium. hoc modo conservati sunt, nulla iniuria accepta nisi hac, quod e patria exterminatis soli Agareno generi in custodiam commissum oppidum. mulieres autem et pueri, qui Methonae remanserant,

δία τῶν Μοθωνιαίων διέσπειραν ἐν ἀνατολῇ καὶ δύσει αἰχμάλωτα.

Ἐπροσεκύνησε δὲ ἐθελουσίως καὶ ἕτερον φρούριον, ἐν ὕψει κείμενον, λεγόμενον νῦν Βαρῖνος.

Ἐπανελθόντος δὲ τοῦ σουλτάνου ἐν τῇ Κωνσταντίνου,
33 εἰρήνευεν ἐπὶ ἔτη πολλὰ διὰ τὸ πεσεῖν ἐν ἀσθενείᾳ μεγάλῃ τῆς ἀρθρίτιδος· καὶ οὕτω μαλακῶς ἔχων καὶ ἄκων ἐποίησε σπονδὰς μετὰ πολλῶν.

Πατριαρχεύσας δὲ ὁ κύριος Συμεὼν ἔτη ἓξ ἐκοιμήθη. εἶτα συνεκροτήθη σύνοδος ἀπό τε τῶν ἀνατολικῶν καὶ τῶν δυσικῶν ἀρχιερέων, ἐν οἷς ἦν ὁ Ἐφέσου Δανιήλ, ἀνὴρ λόγιος καὶ ὁ Θεσσαλονίκης Νήφων. καὶ ποιήσαντες ψήφους ἐκκλησιαστικῶς ἀνεβιβάσθη εἰς τὸν θρόνον πατριαρχείου ὁ Θεσσαλονίκης. ὑπάρχων δὲ ἀνὴρ σοφός, εἴπερ τις ἄλλος τῶν κατ' ἐκείνοις τοῖς χρόνοις, ἐποίει διδαχὰς ἐπ' ἄμβωνος λογίως καὶ θαυμασίως. ἦν δὲ τὴν πατρίδα Πελοποννήσιος, πατέρα μὲν κτησάμενος Ἄλβανον πλούσιον καὶ ἄνδρα πεπαιδευμένον, μητέρα δὲ Ῥωμαίαν ἐξ εὐγενῶν. ὃς ποθήσας τὴν τῶν μοναχῶν πολιτείαν, ἀφεὶς τοὺς γονεῖς, ἐν ὄρει τοῦ Ἄθωνος τῷ ἁγίῳ λεγομένῳ ἀπῆλθε, καὶ ἡσύχαζεν ἐκεῖ. ὅπου καὶ ἱερεὺς ἐγένετο ἐν μοναστηρίῳ ἐπ' ὀνόματι τιμωμένῳ τοῦ παντοκράτορος.

4. Βαρῖνος τὸ πάλαι Πύλος, πατρὶς τοῦ Νέστορος, τὸ καὶ κορεφάσιον λεγόμενον

captivorum condicionem subire coacti per Orientem et Occidentem dispersi sunt.

His accessit et alius cuiusdam oppidi, in edito loco siti, quod hodie Barinus nominatur, ultronea deditio.

Reversus Cpolin sultanus multos annos pacem coluit; nec eam sua voluntate, sed quod magnis articulorum doloribus cruciaretur; quae debilitas et languor indutias et foedera quamvis invitum facere cum multis coegit.

Patriarcha Symeon cum sexennium ecclesiae praefuisset, placido somno emigravit. convocatum inde concilium ecclesiasticorum procerum, tum ex Oriente tum ex Occidente; inter quos tunc conspicui erant Ephesi praesul Daniel, eruditione praestans, tum Thessalonicae Nipho. suffragiis inde ex ecclesiae ritu latis in patriarchicam dignitatem exaltatus fuit Thessalonicensis. cum autem ea doctrina esset qua haud temere quisquam ea tempestate alius, erudite pro concione et admirabiliter docebat. erat e Peloponneso oriundus; patrem habuerat ex Albania, virum divitem et literis excultum, matrem autem Romani (hoc est Graeci) generis, nobili loco natam, incensus ipse amore vitae solitariae, parentibus relictis, in montem Atho (hodie

ἐπεὶ δὲ Θεσσαλονίκη τὸν ἴδιον ποιμένα ἀπέβαλεν, οἱ Θεσσαλονικεῖς τὴν ἀγαθὴν φήμην ἀκούοντες τοῦ ἀνδρός, μεταπεμψάμενοι καὶ ἀξιώσαντες ποιμένα αὐτὸν ἐκατέστησαν καὶ μὴ θέλοντα. πλὴν ἤκουσε τῶν ἐκεῖ μοναχῶν κινησάντων αὐτὸν διὰ τὴν πολλῶν σωτηρίαν.

Μετὰ δὲ τὸν θάνατον οὗ εἴπομεν πατριάρχου Συμεῶνος ὁ πλοῦτος αὐτοῦ, ἐπειδὴ ζῶν οὐδέν τι ᾠκονόμησεν, ἐγένετο αὐθεντικός, γινώσκοντος τοῦ χασνατάρι Ἀγαρηνῶν, τοῦ Τραπεζουντίου Σκεντερμπέϊ τοῦ υἱοῦ Ἀμυρούτζη, ὅτι κληρονόμον οὐκ εἶχεν. οὐ μόνον δὲ τὰ ἑαυτοῦ ἀλλὰ καὶ πολλὰ τῶν ἀφιερωμένων ἐγένοντο αὐθεντικά. καὶ τούτου ἕνεκα καὶ πολλοὶ τῶν κληρικῶν εἰσῆλθον ἐν φυλακῇ. ταῦτα δὲ θεώμενος ὁ πατριάρχης, ὅπως ἀφιερωμένα ἱερὰ σκεύη, ἄξια ὑπὲρ τριῶν χιλιάδων χρυσίνων ἔλαβον, καὶ τοὺς κληρικοὺς ἐν φυλακῇ εἶχον, καὶ ἄλλα ζητοῦντες, καὶ βουλόμενος κἂν ταῦτα ἐλευθερωθῆναι, ἐπλάσατο ὅτι Βασίλειός τις ἔστιν αὐτοῦ ἀνεψιός, καὶ οὕτως ἐμαρτυρήθη, εἰ καὶ οὐκ ἀληθῶς. γινώσκοντος δὲ τοῦ αὐτοῦ χασνατάρι τὸ ἀληθές, ἠνάγκασε καὶ ἀπέκοψαν μὲν τὰς ῥῖνας τῶν μαρτυρησάντων, αὐτῶν τριῶν ὄντων μοναχῶν, ὠργίσθη δὲ καὶ ὁ σουλτᾶνος τὸν οἰκονομήσαντα ταῦτα καὶ

8. *χασνατάρι ὁ θησαυροφύλαξ τοῦ βασιλέως*

sanctus mons vocatur) abiit, ibique rebus sacris vacavit, factus ibi sacerdos in monasterio quod nomini Pantocratoris consecratum est. cum autem Thessalonica pastorem suum amisisset, incolae huius urbis, audita virtute et eruditione viri acciverunt, rogarunt, invito pedum pastorale tradiderunt: invito, inquam, vix a monachis eius loci ob multorum salutem persuaso.

Iam vita perfuncto, uti diximus, patriarcha Symeone, quia is vivens nullum fecerat testamentum, opes eius in aerarium regis redigendae erant. regiarum quippe pecuniarum praefecto, Trapezuntio Scederbeio, Amerutzae filio, notum erat neminem illi heredem esse. non ipsius autem tantum bona, sed multa etiam divinis usibus consecrata sultano addicebantur. qua de causa multi etiam ex clero in custodiam includebantur. haec mala cum cerneret patriarcha, sacra vasa, quae plus tribus ducatorum milibus valebant, a Turcis auferri, clericos in custodia detineri, alia insuper ab ipsis attentari, indigne tulit, cupiens saltem Symeonis bona asserere. commentus itaque est quendam Basilium illius patruelem; et sic pro testimonio dictum fuit, etsi praeter veritatem. verum cum rem probe nosset idem gazae praefectus, testibus nares praecidendas curavit, qui erant tres monachi. sed et sultanus commenti huius auctori patriarchae ac consultori irasci. eiectus ergo is est non solio tantum suo sed ipsa etiam urbe. deinde, de sententia quaestoris seu generalis receptoris regni, sedit, ut tributum persolveret. tunc iterum urbe exivit impe-

συμβουλεύσαντα πατριάρχην, καὶ ἐξέβαλον αὐτὸν οὐ μόνον 34 *τοῦ θρόνου ἀλλὰ καὶ τῆς πόλεως. εἶτα γνώμῃ τοῦ Τευτενταίρη τοῦ λογαριαστοῦ τοῦ βασιλέως ἐκάθισε διὰ τὸ δοῦναι τὸ τέλος. εἶτα ἐξῆλθε πάλιν, προστάξαντος τοῦτο τοῦ σουλτάνου αὐτοῦ καὶ προσειπόντος ἵνα καὶ ἕτερον ἐκλέξωσι καὶ κυρώσῃ αὐτόν. βουλὴν οὖν ἔθεντο ἵνα ποιήσωσι τὸν κύριον Διονύσιον ἐνδιατρίβοντα τῇ μονῇ τῆς Κοσινίσης. ἀπῆλθον δὲ μετὰ βασιλικοῦ ὁρισμοῦ, καὶ ἐλθεῖν ἐποίησαν καὶ μὴ θέλοντα διὰ τὸ βαθὺ γῆρας. ἔζη δὲ ἔτι καὶ ὁ κύριος ὃς ἠγόρασεν αὐτὸν αἰχμαλωτισθέντα, ὡς εἴπομεν, ὃς καὶ ἐν πολλοῖς ᾠκονόμει τὰ ἐκκλησιαστικά. ὁ τοιοῦτος δὲ πατριάρχης ἦν ἀρεταῖς κεκοσμημένος ἀκτημοσύνῃ νηστείᾳ προσευχῇ ταπεινότητι ἐλεημοσύναις καὶ ἄλλοις ἀγαθοῖς. πατριαρχεύσας δὲ ἔτι χρόνους δύο καὶ μῆνας ἓξ παρῃτήσατο.*

Ὁ δὲ σουλτᾶνος Μπαγιαζίτης ἐποίησε μάχην πρόσκαιρον μετὰ τῶν Τζιντίδων, καὶ ἔπεμψε στρατείαν καὶ πλήθη πολλά, καὶ ἐγένετο συμπλοκὴ πολέμου εἰς τὰ Ἀτανὰ ἐν τοῖς μέρεσι Καραμανίας· ἦν δὲ πρωτοστράτωρ, ὡς παρ' αὐτοῖς λέγεται μπεγλέρμπεϊς, ὁ ἐπὶ θυγατρὸς γαμβρὸς αὐτοῦ ὁ Χερσεόγλης. καὶ πολέμου συγκροτηθέντος συνέλαβον αὐτὸν ζῶντα, καὶ ἠφάνισαν καὶ φοσάτα πολλά, πλήθη ἀνδρῶν ἐμπείρων πολέμου καὶ ἀνδρείων. ἐφύλαττον δὲ αὐτὸν ζῶντα, καὶ ἀπέδωκαν, ὅτε ἐποίησαν εἰρήνην.

2. *Ντεευτεντάρη* C

rio ipsius sultani: qui et alium deligi patriarcham iussit, cuius se designationem ratam habiturum et confirmaturum. consilium igitur Dionysii ceperunt creandi, qui in caenobio Cosinizae commorabatur. abierunt hoc animo, rege sic iubente: accersiverunt Dionysium, et recipere id munus, quantumvis licet excusatione longae senectutis uteretur, coegerunt. etiam herus ipsius, qui olim captum redemerat sicut diximus, adhuc in vivis erat; idemque in multis regebat ecclesia negotia. erat ille patriarcha multis virtutibus egregie ornatus, paupertate voluntaria, ieiuniis, precationibus, humilitate animi, erogationibus in egenos, aliisque studiis laudatis. cumque duos annos functioni patriarchatus et menses sex adiecisset, illa sese abdicavit.

Sultanus dein Baiazita bellum aliquandiu cum Zinzidis gessit, misso numeroso et valido exercitu. commissum est praelium apud Atana, in partibus Caramaniae seu Ciliciae, duce genero Baiazitae Cherseogle, qui protostratoris, quem ipsi bellerbeium vocant, dignitate eminebat. hic in eo praelio vivus in potestatem hostium venit, multis rei militaris peritissimorum et fortissimorum Turcarum agminibus deletis. quem cum vivum servassent, postea pace composita reddiderunt.

Κατὰ δὲ τὸ ͵ζιζ ἔτος ἐγένετο σεισμὸς μέγας καὶ ἔπεσον πολλὰ ἐκ τῶν τειχῶν τῆς πόλεως καὶ ναοὶ τῶν τε Ἀγαρηνῶν καὶ ἐκ τῶν ἡμετέρων καὶ οἰκήματα πολλά, καὶ πολλοὶ κατεπλακώθησαν καὶ ἀπέθανον ἀώρως καὶ ἀθλίως.

Κατ' ἐκείνους δὲ τοὺς χρόνους ἦλθέ τις ἐκ Περσίας ὀνόματι Σαχ-Κούλης, δοῦλος τοῦ Σὰχ Ἰσμαήλ, μετ' ὀργῆς μεγάλης, φέρων μεθ' αὐτοῦ καὶ λαὸν πολὺν ἀπό τε Καραμανίας καὶ ἐκ τῶν Βαρσακίδων καὶ Τουρκατηρλίδων· ἦλθε δὲ μέχρι Κοτυαίου. ὑπῆρχε δὲ τὸ πλῆθος μέχρι χιλιάδων εἴκοσι. τούτου δὲ ἕνεκα ἐξῆλθεν ὁ μπεγλέρμπεϊς Καρακιὸς-μπασιᾶς ἐκ τῶν μερῶν ἐκείνων καὶ ἀντέστη. ἔπεμψε δὲ καὶ ὁ σουλτᾶνος τὸν Ἀλιμπασιᾶν μετὰ στρατευμάτων, γενιτζάρων, σπαχίδων καὶ πεζῶν τοξότων καὶ ἄλλων. αὐτὸς δέ, καίπερ τόσοι ἀντεστρατεύσαντο, οὐκ ἐδειλίασεν, ἀλλ' ἔμεινε χωρὶς φόβου τινὸς ἁρπάζων καὶ ἀφανίζων τὰ ἐγγὺς καὶ πόρρω. παραγενόμενος δὲ ὁ πασιᾶς οὐκ εὐθέως συνεκρότησε πόλεμον μετ' αὐτοῦ, ἀλλὰ μετακαλεσάμενος τοὺς πρώτους τῶν Καραμάνων ἐδίδου αὐτοῖς δωρεὰς καὶ ἱμάτια χρυσᾶ, ὅπως συμβοηθήσωσιν αὐτῷ ἢ δολιεύσονται αὐτῷ ἢ πιάσωσιν αὐτόν. 35
εἶπον οὖν ἐκεῖνοι ὅτι ὁ Σαχ-Κουλῆς ἔχει θάρρος εἰς ἡμᾶς ὅπως βοηθήσωμεν αὐτῷ ἐν τῷ πολέμῳ. ἡμεῖς δὲ ποιήσομεν παντοιοτρόπως ἵνα συλλάβωμεν αὐτὸν ζῶντα, εἰ δυνατόν, καὶ

Anno 7017 terrae motu horrendo concussa fuit urbs; quo colla- 1508
psae sunt multae partes moenium, tum templa, non tam Agarenica quam etiam nostratia, aedificiaque complura, eorumque ruinis multi mortales ante tempus miserabiliter oppressi.

Venit illa tempestate quidam e Persia nomine Sachcules, servus Sach Ismaelis, iracundo se inferens impetu, adducens magnum e Catamanis Caramanis Barsazidis et Turcatylidis exercitum, numero ad ducenta hominum milia; et ad Cotiaium usque progressus est. huic bassa Caracius, bellerbeii gradu ornatus, obviam ivit atque illis in locis se opposuit. sed et Halli bassam sultanus cum copiis ianizarorum, Spachorum, sagittariorum peditum et aliorum militum, subsidio emisit. ille vero, licet tantos exercitus sibi oppositos videret, nullum timorem prae se tulit, sed confidenti animo manebat, praedas agens et populans tam propinqua quam longinqua. quo cum accessisset bassa, non continuo cum illo acie decernendum duxit, sed accitis ad se primoribus Caramanorum munera offerebat et vestitum aureum, cupiens eos in societatem suam pellicere, aut persuadere ut dolo circumvenirent hostem aut captum sibi traderent. responderunt illi "equidem confidit nobis Sachcules; nec dubitat quin ei auxilio in pugna futuri simus. nihil ergo intentatum relinquemus

δώσομεν αὐτὸν ἐν ταῖς χερσί σου. πιστεύσας οὖν αὐτοῖς δέδωκε πόλεμον μετ' αὐτοῦ. οἱ Καραμάνοι δὲ ἦσαν προσκείμενοι καὶ μεθ' ἑκατέρων τῶν μερῶν, ἐφαίνοντο δὲ ὅτι βοηθοῦσι τοὺς Ὀσμανλίδας· συμπλοκῆς τοίνυν γενομένης ἔφυγον μὲν οἱ Καραμάνοι, νικᾷ δὲ ὁ Σαχ-Κουλῆς· ὅπου καὶ ἀπεκόπη καὶ ἡ κεφαλὴ τοῦ πασιᾶ. εἶτα παλινοστήσαντες οἱ Καραμάνοι καὶ κεκμηκότας εὑρόντες τοὺς τοῦ Σαχ-Κουλῆ, καὶ ἐπιπεσόντες αὐτοῖς ἀνελπίστως, ἐνίκησαν αὐτούς, καὶ ἔφυγον. ἔλαβον δὲ καὶ ἑκατέρων τῶν μερῶν τάς τε σκηνὰς ἅρματα ἵππους καμήλους καὶ λοιπὴν σκευήν, καὶ ἀπῆλθον ἐν τοῖς ἰδίοις.

Ταῦτα δὲ ἀκούων ὁ σουλτᾶνος Μπαγιαζίτης οὐκ ἠδύνατο ποιεῖν οὐδέν, ἐπεὶ ἦν ἐν κλίνῃ, ὑπὸ ῥευματισμοῦ ἀσθενῶν κακῶς. καὶ τόσον ὑπῆρχεν ἀκίνητος· ὅτι ἔδοξεν αὐτῷ δοῦναι τὴν ἡγεμονίαν πρὸς τὸν τούτου υἱὸν σουλτὰν Ἀχουμάτην καὶ ἔτι ζῶντα ἀναχωρῆσαι. ἦν δὲ ὁ σουλτὰν Σελίμης κυριεύων ἐν Τραπεζοῦντι, καὶ ἔμαθε καὶ τὴν τοῦ πατρὸς αὐτοῦ βουλήν, ὅπως δοῦναι ἔχει τὴν ἀρχὴν πρὸς τὸν ἄλλον ἀδελφόν, καὶ ἐζήτησε τὸν Καφὰν δοθῆναι τῷ σουλτὰν Σουλεϊμάνῳ, ἵνα μανθάνειν ἔχει πᾶν γινόμενον. εἶχε δὲ καὶ κατασκόπους ἐν πόλει καὶ ἐν τόποις ἄλλοις πολλοῖς. ὡς δὲ ἔμαθεν ὅτι ἤδη γέγονεν ὃ γενέσθαι προελέγετο, ἄρας λαὸν

quo capiamus vivum, si modo fieri poterit, et in manus tuas tradamus." bassa verbis eorum fidem habens ad praelium cum Persa descendit. stabant tunc Caramani ab utraque parte; et qui cum Sachcule erant, videbantur cum Ottomanica parte facere. verum ubi ad rem ventum est, fugam inìverunt Caramani, praelio victor Sachcules extitit, inter alios bassa etiam cruentam capitis diminutionem passo. deinde e fuga reversione facta Caramani, cum eos qui cum Sachcule erant defatigatos repperissent, impetu repente in eos facto haud difficulter vicerunt integri fessos, in fugamque dederunt. utriusque igitur partis papiliones abstulerunt et currus et equos et camelos et reliquum apparatum, hisque ditati ad sua redierunt.

Haec audiens sultanus Baiazita, etsi indigne tulit, ad ulciscendum accingi non potuit, eo quod decumbebat epiphora et gravedine oppressus. adeoque lecto affixus erat ut nullo modo se inde movere posset, sed de regno, etiamnum spirans, relinquendo et ad filium Achumatam transferendo cogitaret. erat illo tempore Trapezunte cum potestate Selimus; ubi de consilio patris certior factus fuit, eum velle imperium deferre ad alium filium, ipsius fratrem. petiit ergo Capham, ut esset cum Sucheimano; quo quicquid rerum gereretur audire posset. habebat et Byzantii et aliis pluribus in locis suos exploratores. post-

ἀπὸ Σκυθῶν ἀπὸ τοῦ Χάνη καὶ παντοίων ἄλλων, καὶ τοὺς ἰδίους αὐτοῦ καὶ πολλοὺς τῶν συμμάχων καὶ φίλων, ἦλθε διὰ τῶν ἀβάτων τόπων καὶ μεγίστων ποταμῶν ὥρᾳ χειμῶνος, καὶ κατήντησεν εἰς τὸ Κελλεῖον καὶ Ἀσπρόκαστρον. ὁ δὲ σουλτὰν Ἀχουμάτης μηνυθεὶς παρὰ τοῦ πατρὸς αὐτοῦ ἦλθεν ἄντικρυ τῆς πόλεως ἐν χώρᾳ λεγομένῃ Βρύα, καὶ διαβὰς ἐν πόλει νυκτὸς κρυφίως εὑρέθη καὶ συνωμίλησε μετὰ τοῦ ἰδίου πατρός. τοῦτο δὲ οὕτως ἐγένετο, ἐπεὶ οἱ γενίτζαροι ὅλως οὐκ ἠγάπησαν αὐτὸν μὴ βοηθηθέντες ἐν τῷ πολέμῳ τοῦ Σαχκουλῆ. πλὴν δοκεῖ μοι ὅτι οὐκ ἦν αὐτῷ ἐκ θεοῦ ἡ βασιλεία· ὅθεν καὶ ὑπέστρεψε κενὸς ἐν Ἀμασίᾳ ἀπελθών, μηδὲν διαπραξάμενος ὧν χάριν ἦλθε.

Hoc Hieremia patriarcha diem suum obiit sultanus Selimes, rex Cpoleos quintus, in solio regni sui. sepultus est magna celebritate et gloria, ut rex, in templo S. Sophiae. expugnaverat hic imperator insulam Cyprum violentissimo bello Venetis illato, anno domini 1570, nono die Septembris, insulanorum aliis interfectis, aliis cum uxoribus et liberis innumerabilibus in servitutum abreptis.

Successit illi in regno filius suus Murates, quando annus a nativitate Christi agebatur 1574. qui postquam in regio solio sedere coepit, magna quotidie et dedit et dat iustitiae specimina, in nullius hominis faciem intuens, sed tantum iusti iudicii rationem habens.

Καὶ ὡς ἔμαθαν οἱ ὑποτεταγμένοι τῆς βασιλείας αὐτοῦ αὐθένται καὶ οἱ ἄλλοι φίλοι τῆς αὐτοῦ βασιλείας ὅτι νέος βασιλεὺς ἐγένετο, ἔστειλαν ἀποκρισιαρίους μετὰ μεγάλων καὶ πολυτίμων δώρων, καὶ ἐπροσκύνησαν αὐτόν· καὶ ἐδέχθη αὐτοὺς μετὰ μεγάλης ἀγάπης, καὶ ηὐχαρίστησε τῶν αὐθεντῶν αὐτῶν πολλά, ἰδόντα τὴν δουλοσύνην αὐτῶν. ὁ δὲ πατριάρχης λαβὼν τὸ διατεταγμένον πεσκέσιον ἤτοι κανίσκιον, τὰς δύο χιλιάδας τὰ φλωρία, ὑπῆγε καὶ ἐπροσκύνησεν αὐτὸν καὶ τὴν χεῖραν αὐτοῦ ἐφίλησεν, ὡς ἔναι συνήθεια τῶν πατριαρχῶν καὶ τὸ μπαράτιον αὐτοῦ ἐβεβαίωσεν, ὅπερ τοῦ ἔδωκεν ὁ ἀποθανὼν πατὴρ αὐτοῦ, σουλτᾶν Σελήμης. καὶ ὅρισε, καὶ ἔδωκαν αὐτοῦ καὶ ἄλλον νέον μπαράτιον, ὅτι κατὰ τὴν πίστιν του νὰ ὁρίζει καὶ νὰ κρίνει μητροπολίτας ἀρχιεπισκόπους ἱερεῖς καὶ πᾶσαν ἄνθρωπον Ῥωμαῖον καὶ ἐκκλησίας καὶ μοναστήρια· καὶ ὅποιος φανῇ ἐναντίος τοῦ μπαρατίου αὐτοῦ, νὰ παιδεύεται μεγάλως παρὰ τῆς αὐτοῦ βασιλείας. λαβὼν δὲ τὸ βασιλικὸν μπαράτιον ὁ πατριάρχης καθέζεται εἰς τὸν πατριαρχικὸν θρόνον αὐτοῦ ὡς κύριος καὶ δεσπότης τῆς οἰκουμένης, καὶ κρίνει καὶ ἀποφάσεις ποιεῖ· καὶ τίμια πατριαρχικὰ γράμματα οἱ Χριστιανοὶ ἐπέρνουν εἰς τὰς ὑποθέσεις αὐτῶν, καὶ ἔχουν τὸ βέβαιον εἰς ὅλην τὴν οἰκουμένην. καὶ ἄλλα ὅμοια ποιεῖ κατὰ τὴν δεσποτείαν καὶ ἐξουσίαν ἥνπερ ἔχουν οἱ πατριάρχαι.

Cum autem cives imperii eius, viri principes aliique bene affecti erga maiestatem eius, cognovissent novum regem factum esse, miserunt legatos cum magnis et pretiosis muneribus, ei gratulatum et subiectionem suam declaratum. quos ille clementissime accepit, magnas proceribus illis gratias agens, cum eos ita maiestati suae fautores, et inservire paratos cerneret. patriarcha quoque, accipiens ordinarium pescesium sive honorarium, duo milia ducatorum abiit ad regem, ei se subiiciens et more patriarchico manum eius osculans. qui rex potestatem ecclesiasticam, quam patriarcha a patre sultano Selime acceperat, eidem confirmavit; atque etiam novum diploma dari iussit, ut secundum religionis suae praescriptum imperium et iurisdictionem haberet in metropolitas archiepiscopos sacerdotes et omnes Graecos homines, ecclesias ac monasteria, addita comminatione, quicunque huic suo diplomati adversaretur, in eum gravissime a maiestate sua animadversum iri. accepta hac confirmatione patriarcha in throno suo nunc firmus sedet; ut dominus et gubernator orbis terrae, iudicium exercet ac sententias pronuntiat; honorabilesque literas a sanctitate eius et negotiorum suorum determinationes Christiani efferunt, quae vim et pondus ubivis terrarum habent. alia quoque huiusmodi pro patriarchicae celsitudinis potestate administrat.

Εἴπωμεν δὲ καὶ περὶ τοῦ ἄλλου θαυμαστοῦ ἔργου· ὅπου ἔκαμεν ὁ αὐτὸς πατριάρχης.

Ἐκατασκεύασε δὲ καὶ θεῖον θρόνον, μέγαν καὶ θαυμαστόν, πατριαρχικόν, διὰ πολλῆς ψιλῆς τέχνης καὶ διὰ πολλῶν διαφόρων πραγμάτων. ἔχει δὲ κόκαλα πολύτιμα, ὡραιότατα, ἄσπρα καὶ ἄλλα πολυποίκιλα τῆς τέχνης, πράσινα, μαῦρα καὶ ἄλλης θεωρίας, καὶ κατὰ τόπους μὲ τὸ χρυσάφη. καὶ ἐκεῖ ὅπου στέκεται εἰς αὐτὸν ὁ θεῖος πατριάρχης, ἄνωθεν τῆς θείας καὶ ἱερᾶς αὐτοῦ κορυφῆς, ἔχει τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, μέγαν ἀρχιερέαν, ὅλον μὲ τὸ χρυσάφη ἱστορημένον. ἔναι δὲ τὸ μῆκος μία σπιθαμὴ μεγάλη. 183
καὶ ποῖος νοῦς ἀνθρώπου νὰ δυνηθῇ νὰ κατανοήσῃ τὴν τέχνην καὶ θεωρίαν αὐτοῦ τοῦ ὑψηλοτάτου πατριαρχικοῦ θρόνου; ὅταν γὰρ θεωρεῖ αὐτὸν τινάς, ἀπὸ τὴν λαμπρότητα, ὁπού ἔχει, τῶν πολλῶν ὡραιοτάτων πραγμάτων ὧνπερ ἔναι κατασκευασμένος καὶ καμομένος, τοῦ φαίνεται ὅτι ἔναι ῥοῦχον πολύτιμον χρυσοΰφαντον μαργαρόστρωτον μετὰ τῶν δώδεκα ἐκλεκτῶν λίθων, τοῦ τε σαρδίου παζίου σμαράγδου ἄνθρακος σαπφείρου ἰάσπου ὑακίνθου ἀχάτου ἀμεθύσου χρυσολίθου βηρυλλίου καὶ ὀνυχίτου, καὶ μετὰ ἄλλων πολυτίμων λίθων ἐκλεκτῶν καὶ λαμπροτάτων καὶ φαίνεται ὡραιότερος καὶ λαμπρότερος ἀπὸ ὅλον τὸν ναόν. ἔχει δὲ αὐτὸς ὁ θεῖος θρόνος εἰς τὸ ἕνα μέρος μία μεγάλην ἁγία εἰκόνα ὡραιο-

Dicamus nunc etiam de alio mirabili opere; quod idem patriarcha fecit.

Paravit is quoque sacrum thronum patriarchicum, magnum et mirabilem singulari artificio et subtilitate, multis varii generis rebus. insunt pretiosa ossa seu emblemata, pulcherrima, alba; alia item valde artificiosa, viridia, nigra aliorumque colorum, addito suis etiam locis auro. atque in illa parte eius ubi patriarcha stare solet, supra sanctissimum caput huius depictus est dominus Iesus Christus. summus pontifex, in omni sua parte ex auro; cuius imaginis longitudo, unam magnam aequat spithamam. et cuius, quaeso, hominis mens posset pro dignitate expendere artificium et speciem illius sublimis throni? nam si quis splendorem eius spectet multis illis, ex quibus factus est et quae in eo reperiuntur, pulcherrimis rebus, apparet esse vestis quaedam pretiosa, auro intertexta et margaritis interpuncta, cum duodecim electis gemmis, sardio topazio smaragdo carbunculo sapphiro iaspide hyacintho achate amethysto chrysolitho beryllo et onyche, aliisque magni pretii lectissimis et coruscantibus gemmis. ac pulchrior apparet splendidiorque quam totius templi quicquam. habet idem thronus in una parte magnam et pulcherrimam, auro de-

τάτη μὲ τὸ χρυσάφη, καὶ ἔχει τὴν ἀποκαθήλωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὸν θεῖον ἐνταφιασμὸν τοῦ παναγίου σώματος αὐτοῦ καὶ ἐκρέμασεν ἐκεῖ κανδήλα ἀργυρῆ καὶ φωτί· καὶ λάμπει ὥσπερ ὁ ἀστέρας τῆς αὐγῆς.

Ἔκαμε δὲ καὶ ἱερὰ πολύτιμα καὶ λαμπρά, πολυσταύρια φαιλόνια, στιχάρια, ὠράρια καὶ σκεύη ἀργυρᾶ ὡραῖα· τὰ ὁποῖα ὅταν τὰ ἐνδυθοῦν οἱ ἱερεῖς καὶ οἱ διάκονοι, καὶ εὔγουν ἔξω τοῦ βήματος καὶ ἔλθουν γύροθεν τοῦ ὑψηλοτάτου θρόνου καὶ κλίνουν τὰς κεφαλὰς αὐτῶν, λέγοντες τὴν εὐχήν, παρομοιάζουν τοὺς θείους ἀγγέλους, ὁποῦ στέκεται ἔμπροσθεν τοῦ φοβεροῦ θείου θρόνου τοῦ οὐρανίου, κλιμένοι τὰς κεφαλὰς καὶ λέγοντες τὸ "ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός" καὶ τὰ ἑξῆς. ὅμως ὁ πόθος καὶ ἡ ζέσις τοῦ κοινοῦ δεσπότου ἔναι εἰς αὐτὸν τὸν θεῖον ναὸν τῆς παμμακαρίστου, καθὼς ἦτον τοῦ θείου Σολομῶντος εἰς τὴν ἁγίαν Σιὼν καὶ τοῦ μεγάλου Ἰουστινιανοῦ τοῦ βασιλέως εἰς τὴν ἁγίαν Σοφίαν. καὶ καθὼς ἐλάλησεν ὁ θεὸς διὰ τοῦ ἀγγέλου αὐτοῦ τοῦ βασιλέως Ἰουστινιανοῦ πῶς νὰ τὴν ἐκάμῃ καὶ πῶς νὰ τὴν ἐστολίσῃ, οὕτως ἐλάλησε καὶ λαλεῖ ἡ παμμακάριστος πρὸς τὴν ἔμψυχον εἰκόνα τοῦ μονογενοῦς υἱοῦ αὐτῆς, ἡ ὁποῖα ἔναι αὐτὸς ὁ πατριάρχης, ὁ ἀληθινὸς ἀρχιερεὺς τοῦ Χριστοῦ, ὁ ἐκ θεοῦ τὴν χάριν ἔχων, ὁ πληρωθεὶς ὁ δεσποτικὸς λόγος εἰς αὐτὸν διὰ Ἡσαΐου τοῦ προφήτου "ἐπὶ τίνα ἐπιβλέψω εἰ μὴ ἐπὶ τὸν

coratam, imaginem sanctam, et depositionem sanctissimi dominici corporis Christi de cruce eiusque sepulturam divinam habet; ac pendet ibi candelabrum argenteum accenso lumine, quod in luciferi modum splendet.

Fecit praeterea sacros ad usus pretiosas et conspicuas res alias multarum crucium pallia, sticharia horaria, suppellectilia item argentea, decore insignia; quibus rebus vestiti et ornati sacerdotes et diaconi, quando extra sacrarium prodeunt thronumque illum sublimem circumeunt et capita sua ad precum recitationem inclinant, similitudinem divinorum angelorum referunt qui ante caelestem ac tremendum dei thronum capitibus inclinatis consistunt, canentes "sanctus deus, sanctus et validus" et his adiuncta. tunc animus sanctissimi nostri domini eo desiderio et affectu in S. templo Pammacaristae accensus est quo divini Solomonis quondam in S. Sione et magni imperatoris Iustiniani in fano S. Sophiae et quemadmodum deus voce angeli sui locutus fuit imperatori Iustiniano, quonam id templum modo construeret et quibus ornamentis decoraret, eo modo et locuta est et loquitur beatissima mater vivae imagini unici filii sui, nempe ipsi patriarchae; qui est verus Christi pontifex, quem divina gratia

πρᾶον καὶ ἥσυχον, τὸν τρέμοντά μου τοὺς λόγους;" λοιπὸν ὁ
κοινὸς δεσπότης, ἔσοντας νὰ λέγουν οἱ θεῖοι διδάσκαλοι ὅτι
ἐπίγειος οὐρανὸς ἔναι ἡ ἐκκλησία, καὶ οὐρανὸς πολύφωτος,
ἐνθυμήθη τοῦτο ἐν τῇ καρδίᾳ αὐτοῦ διὰ θείου φωτισμοῦ, καὶ
ἔκαμε τοὺς καλλωπισμοὺς καὶ τὰ ὡραῖα καὶ λαμπρότατα,
ὁποῦ ἀκούσετε, εἰς τὸ θεῖον ναὸν τοῦτον τῆς μεγάλης ἐκκλη- 184
σίας τῆς παμμακαρίστου. ἔχει γὰρ ὁ οὐρανός, καθὼς τὸν
ἐβλέπομεν, ἥλιον φεγγάρη ἄστρη καὶ τὰ ἄλλα. ἔχει δὲ αὐ-
τὸς ὁ ναὸς τῆς παμμακαρίστου ἀντὶ τοῦ φωτὸς τοῦ ἡλίου τὸ
ὡραιότατον καὶ λαμπρότατον χρυσὸν τέμπλον, ἀπάνω μετὰ
τοῦ ζωοποιοῦ χρυσοῦ σταυροῦ, ὁποῦ ἔναι εἰς αὐτὸν ἐσταυρω-
μένος ὁ κύριος Ἰησοῦς Χριστὸς καὶ σωτὴρ παντὸς τοῦ ἀν-
θρωπίνου γένους, καὶ αἱ εἰκόναι τῶν δώδεκα δεσποτικῶν ἑορ-
τῶν, καὶ κάτωθεν τοῦ τέμπλου ἡ εἰκόνα αὐτοῦ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, μεγάλη καὶ λαμπροτάτη, καὶ ἐν τῷ
δεξιῷ μέρει ἡ εἰκόνα τῆς ὑπεραγίας θεοτόκου, τῆς παμμακα-
ρίστου, ὡραιοτάτη καὶ λαμπρή, ἔχοντες πολύτιμες ποδαῖς
χρυσαῖς. καὶ βημόθυρον μέγα ἐκλεκτόν, πολλῆς τιμῆς· καὶ
αἱ πόρται τοῦ ἁγίου βήματος πάνχρυσαις, μὲ τὸν θεῖον εὐ-
αγγελικὸν ἀσπασμὸν τῆς πανυπεράγνου θεοτόκου. καὶ ἀντὶ
τοῦ φωτὸς τῆς σελήνης καὶ τῶν ἀστέρων ἔχει τὰς ἀργυρᾶς
κανδήλας καὶ τὴν λαμπρότητα τῶν θείων εἰκόνων καὶ ὅλην
τὴν εὐπρέπειαν τοῦ ναοῦ, τὴν ὁποίαν ἀκούσατε ὁποῦ εἶπα-

complexa est; in quem cadit dictum domini, quod in prophetia Esaiae est "ad quem respiciam nisi placidum et quietum, verba mea trementem?" dominus proinde noster, dicentibus sanctis patribus ecclesiam esse terrestre caelum, et caelum luce copiosum, intendit huc divina illuminatione mentem suam, ut huiusmodi decora et ornamenta in hoc magnae ecclesiae Pammacaristae templum congereret, quibus id apud omnes fama celebre efficeretur atque efficitur. ut enim caelo inesse videmus solem lunam astra et cetera insignia, ita templum hoc beatissimae virginis, pro luce solis, illud ad pulchritudinem et fulgorem praeclarum delubrum inauratum habet; in cuius parte superiore vivifica crux aurata est, in qua fixus pendet D. noster Iesus Christus, universi generis humani conservator, et imagines duodecim dominicorum festorum; in inferiore vero parte imago ipsius D. nostri Iesu Christi est, magnitudine et specie insignis; et ad dextram sanctissimae beatissimaeque deiparae venustissima et splendida imago, pretiosis fimbriis aureis spectabiles. conspicitur sacrarii ianua magna, eximia, magni pretii, et fores sacrarii inauratae totae, in quibus evangelica historia annuntiationis ad purissimam dei matrem expressa est. idem templum, pro luce lunae et siderum et stellarum,

μεν, ὅτι καὶ μέσα, καὶ ἔξω ἔναι ὅλη λαμπρὴ φωτοειδὴς καὶ θαυμασιωτάτη ἀπὸ τὴν ὡραιότητα. ἀντὶ δὲ τοῦ οὐρανίου θρόνου ἔκαμεν αὐτὸν τὸν θεῖον θρόνον, τὸν ὑπέρλαμπρον ὁποῦ εἴπαμεν. καὶ καθὼς ἡ θεότης κάθηται ἐπὶ θρόνου εἰς τὸν οὐρανόν, οὕτως καὶ αὐτὸς ὁ δεσπότης, ὁ φέρων τὴν εἰκόνα τοῦ ἑνὸς τῆς ἁγίας τριάδος Χριστοῦ, τοῦ θεοῦ ἡμῶν, κάθηται ἐπὶ τοῦ θείου θρόνου τοῦ ἐπιγείου. ἔναι δὲ καὶ λέγεται αὐτὸς ὁ ναὸς τῆς μεγάλης ἐκκλησίας τῆς παμμακαρίστου ἐπίγειος οὐρανός, νέα Σιών· τὴν ὁποῖαν ἔκτισεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος, καὶ καύχημα καὶ ἔπαινος ὅλης τῆς οἰκουμένης, καὶ εὐμορφία ὅλων τῶν ἐκκλησιῶν καὶ μητέρα. τὸν ὁποῖον περισκεπάσῃ καὶ στερεώσῃ καὶ φυλάξῃ ὁ σωτὴρ ἡμῶν ὁ δυνατὸς καὶ φοβερὸς ἐκ τῶν ὁρατῶν τούτων ἐχθρῶν, ἐκ παντὸς ἐναντίου, σὺν αὐτῷ τῷ παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ πληρωθῇ ὁ θεῖος λόγος αὐτοῦ τοῦ κυρίου, τοῦ εἰπόντος πρὸς τὸν κορυφαιότατον τῶν ἀποστόλων "σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς."

argentea candelabra habet et splendorem sanctarum imaginum, universam denique suam condecentiam, de qua meministis a nobis dictum, eam omnem, tum intus tum extra, esse luce splendore et pulchritudine admirabilem. pro caelesti vero solio illum augustum et splendidissimum thronum patriarcha fecit, de quo diximus. ac sicuti deitas supra in throno caelesti sedet, ita sanctissimus noster, qui gerit imaginem secundae in S. triade personae, Christi dei nostri, sed et hic infra in suo sancto throno. est vero et appellatur ipsum magnae ecclesiae Pammacaristae templum terrestre caelum novaque Sion, quam dominus condidit, non homo; et decus est gloriaque totius orbis terrae, et ornamentum ac mater ecclesiarum. quod templum undique protegat, solide stabiliat et defendat praepotens et terribilis salvator noster, a corporeis istis inimicis et omni adversaria vi, una cum sanctissimo domino nostro, patriarcha oecumenico, in infinita saecula. eventu hic comprobetur divinum domini ad principem apostolorum dictum "tu es Petrus, et super hanc petram aedificabo meam ecclesiam; nec portae inferorum valebunt adversus eam."

ΗΠΕΙΡΩΤΙΚΑ.

I.

ΜΙΧΑΗΛ ΝΕΠΟΤΑ ΤΟΥ ΔΟΥΚΟΣ

HISTORIA EPIRI A MICHAELE NEPOTE DUCE CONSCRIPTA.

Ἀριθμοὶ τῶν ἀπὸ κτίσεως κόσμου ἐτῶν μέχρι τῆς βασιλείας Ἰωάννου υἱοῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου, ἐν ᾗ καὶ ἡ ἅλωσις ἐγεγόνει τῶν Ἰωαννίνων ὑπὸ τῶν Σέρβων.

Ἀπὸ Ἀδὰμ τοῦ πρώτου ἀνθρώπου ἕως Νῶε *) . .

. . . .

*) omittenda censui quae in alia huius corporis parte ita leguntur ut pauca verba immutentur. velut Bonnense Ducae exemplar p. 10 1 *ἐφ' ὃν* habet, Pouquevillianum *ἐφ' οὗ*: 5 B *ϛϛζ* P *σοϛ'*: 12 B *δὲ*, P *δὲ τὸν*: 17 B *εἴκοσι ἕν*, P *α'*.

p. 11 1 B *ἐκγόνοις*, P *ἐγγόνοις*: 3 B *σπέρματι*, P *σπέρματι αὐτοῦ*: 9 B *καὶ ὁ μὲν τὸ*, P *ὧν ὁ μὲν τοῦ*: 12 B *οὗτος ὁ Μωϋσῆς*, P *αὐτος*: 17 B *πρώτου*, P *τοῦ πρώτου*: 18 B *ᾧ*, P *οὗ*: 20, 21, 23 B *γενεαὶ δεκατέσσαρες*, P *γενεὰς δεκατέσσαρας*: 20 B *τέσσαρα*, P *α'*: 21 et 22 B *μετοικεσίας*, P *μετοικησίας*: 22 B *ἐννέα*, P *δ'*.

p. 12 2 B *ἀπὸ τοῦ πρώτου Ἀδάμ*, P *ἀπὸ Ἀδάμ*: 6 B *χρόνῳ αὐτοῦ* P *αὐτοῦ χρόνῳ*: 7 B *τῆς τοῦ θεοῦ ἁγίας*, P *τῆς ἁγίας*: 10 B *σξ'*, P 205: 11 B *σϛε'*, P 205: 12 B *ἡμί*, P *ἥμισυν*: 13, 14, 16, 17 B *μῆνας*, P *καὶ μῆνας*: 17 B *Ἰσαάκιος*, P *ἐβασίλευσεν Ἰσαάκιος*: 18 B *Ἄγγελος ἀδελφὸς Ἰσαακίου ἔτη*, P *Ἄγγελος ἔτη*: 21 B *'ϛψιβ' Ἐπριλίῳ* P 6712, *ἀπὸ Χριστοῦ* 1204, *Ἀπριλλίου*: ib. B *ἡμέρᾳ δευτέρᾳ τῆς*, P *ἡμέρᾳ τῆς*.

Ratio annorum inde a mundi creatione usque ad dominationem Ioannis filii Andronici Palaeologi, qua etiam expugnatio facta est urbis Ioanninae a Serbis, haec est:

Inde ab Adamo, primo homine, usque ad Noam, * *

* * * * * * * * * * * *

καὶ αἱ κατ' Ἰωνίαν Φώκαιαι παρὰ τῶν Γενουΐτῶν, καὶ ἡ τῶν Ἰωαννίνων πόλις παρὰ τοῦ βασιλέως τῶν Τριβαλλῶν ἤτοι τῶν Σέρβων, ὡς παρακατιὼν ὁ λόγος δηλώσει.

p. 13 3 B *Λασκάρη*, P *Λασκάρεως*: 4 B *ὁ υἱὸς*, P *υἱὸς*: 5 B *ὁ καὶ πρὸ* P *πρὸ*: 6 B *παρὰ Μιχαὴλ τοῦ Παλαιολόγου καὶ ἐξωσθεὶς τῆς βασιλείας*, P *ἐξώσθη τῆς βασιλείας παρὰ Μιχαὴλ τοῦ Παλαιολόγου*: 12 B *τελῶν ἦν*, P *τελοῦσαι ἦσαν*: 18 B *μητρόπολις*, P *ἡ μητρόπολις*: 19 B *Μανταχία* P *Μαυταχία*: 20 B *Σμύρνης*, P (etiam in versione) *Σύρνης*: 22 B *μεγάλη*, P *ἡ μεγάλη*.

p. 14 2 B *μέρος*, P *μέρη*: B *οἳ*, P *οὗτοι*: 3 B *μετὰ δὲ τὸν Ἀνδρόνικον*, P *σὺν αὐτῷ δὲ τῷ Ἀνδρονίκῳ*: 4 B *αὐτοῦ ἔτη* ..., P *αὐτοῦ*: 5 B *γέρων*, P *νεώτερος*: 7 B *παρὰ τοῦ κυρίου*, P *παρὰ κυρίου*: 8 B *ἔτει*, P *καιρῷ*: 9 B *Ὁμοῦρ*, P *Ὀμοὺρ*: 10 B *Σμύρναν Ἔφεσον καὶ τὰ*, P *Σμύρνης Ἐφέσου καὶ τῶν*: 11 B *ἔκγονος*, P *ἔγγονος*: 13 B *παράλιον*, P *τὴν παράλιον*: *Βανταίροντα*, P *ἀντεροῦντα*: 14 B *Διδυμοτοίχου* P *Διδυμοτείχου*: 15 B *τὴν πᾶσαν* P *πᾶσαν τὴν*: 16 B *ποιήσοντες*, P *ποιήσασθαι*: 17 B *Χίος*, P *καὶ Χίος ἡ*: 18 B *Κυκλάδαι νῆσοι ἐκ τῶν* P *Κυκλάδες παρὰ τῶν ἀπὸ*: 19 B *Λακεδαιμόνων*, P *Λακεδαιμονίων*.

atque a genuitis Phocaea Ionica: et Ioannina urbs a rege Triballorum sive Serborum id quod narratione sequenti ostendetur.

II.

Ἱστορία Πρελούμπου καὶ ἄλλων διαφόρων Δεσποτῶν τῶν Ἰωαννίνων, ἀπὸ τῆς ἁλώσεως αὐτῶν παρὰ τῶν Σέρβων ἕως τῆς παραδόσεως εἰς τοὺς Τούρκους.

Τοῦ μακαρίτου βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου πρὸς τὰς ἀκηράτους μεταστάντος μονάς, καὶ τὴν τῶν Ῥωμαίων βασιλείαν, ὡς ὄπισθεν ἔφημεν, ἐπὶ παιδὶ καταλείψαντος νέῳ, καὶ ἅπασαν τὴν Ῥωμαΐδα διοικεῖσθαι θεσπίσαντος ὑπὸ τοῦ προρρηθέντος κυρίου Ἰωάννου τοῦ Καντακουζηνοῦ, ἀνδρὸς συνετοῦ καὶ περὶ τὰ πολεμικὰ μαχιμωτάτου, καὶ τῶν εὐγενῶν, ὡς ἂν εἴποι τις, ἄνθους εὐόσμου (τοιοῦτον γὰρ ὄντα καὶ ὁ προβεβασιλευκὼς Ἀνδρόνικος κατὰ πάντα ὡς ἀδελφὸν ἡγεῖτο, καὶ τὴν βασιλείαν σὺν τῷ παιδὶ τελευτῶν αὐτῷ ἀνέθετο), ὁ τῶν Σέρβων τότε ἄρχων ἄδειαν εὑρηκὼς ἐπιπηδᾷ τὰ τῶν Ῥωμαίων ὅρια (Στέφανος δὲ οὗτος κατωνομάζετο), καὶ ἐτόλμησεν ἀναδήσασθαι κράτος καὶ κράλης Σερ-

II.

Historia Prelumpi et aliorum variorum Ioanninae dominorum, inde ab expugnatione eius, quae per Serbos facta est, usque ad deditionem quae ad Turcas fieret.

Cum rex augustus Andronicus Palaeologus ad integras transgressus esset sedes, et Graecorum regnum, ut antea diximus, filio reliquisset iuveni, et totam Graeciam administrari iussisset a domino antea iam nominato Ioanne Cantacuzeno, homine prudente et in rebus bellicis maxime strenuo, et nobilium ut ita dicam ex flore perbene olente, (hunc enim, cûm talis esset, Andronicus, qui antea regnaverat, in fratris loco omnino habuit eique regnum cum filio moriens transmisit), Serborum tum temporis dux occasionem tutam nactus transgressus est Graecorum fines, (ille autem Stephanus vocabatur), et ausus est potestatem sibi arrogare, et krales Serbiae nominari, hoc enim nomen barbarum in linguam Graecam versum rex

βίας ἁπάσης ὀνομάζεσθαι· τοῦτο γὰρ τὸ βάρβαρον ὄνομα ἐξελληνιζόμενον βασιλεὺς ἑρμηνεύεται. καὶ τῷ 6858 διάδημά τε ἑαυτῷ περιτίθεται, καὶ βασιλεὺς παρὰ τῶν ἰδίων ἐπευφημίζεται σατραπῶν, καὶ πᾶσαν ληΐζεται Ῥωμαΐδα γῆν. τὰς δ' ἐν αὐτῇ πόλεις τε καὶ χώρας, τὰς μὲν πολιορκίᾳ εἰληφώς, τὰς δὲ εὐνοίᾳ καὶ δώροις δεξιωσάμενος, πρὸς ἑαυτὸν ἐπεσπάσατο. εἶτα καὶ τὴν ἐν Ἑλλάδι Βλαχίαν ἐπιπηδᾷ, καὶ ταύτην ὑφ' ἑαυτὸν ποιησάμενος σὺν τῇ πόλει τῶν Ἰωαννίνων ἕνα τῶν αὐτοῦ σατραπῶν, Πρέλουμπον καλούμενον, ἄρχοντα αὐτῆς ἀναδείκνυσι, τῷ τοῦ Καίσαρος ἀξιώματι τιμήσας αὐτόν. τὸν δὲ ἴδιον ἀδελφόν, καλούμενον Συμεών, ὃς ἐξ ἀνεψιᾶς ἐτύγχανε τοῦ βασιλέως Παλαιολόγου, δεσπότην τιμήσας εἰς

5. codex *τὴν ἑλλάδα βλαχίαν.* correxit Pouquevillius, qui *γίνωσκε* inquit *ὅτι ἡ ἐν Ἑλλάδι Βλαχία εἶναι τὰ Τρίκκαλα σὺν τῇ Λαρίσσῃ. ἄλλως. Ἑλλάδα ἐννοεῖ ἐδῶ ὁ ἱστορικὸς ὄχι ὅλην τὴν γῆν τῶν Ἑλλήνων, τὴν ὁποίαν αὐτὸς γῆν Ῥωμαΐδα ὀνομάζει, ἀλλὰ μέρος τῆς Θεσσαλίας. Φαίνεται δέ, ὅτι τὸ ὄνομα μετεφέρθη εἰς πολλὰ τῆς ἐπαρχίας ταύτης μέρη. ὁ Στράβων ἀναφέρει γνώμας πολλῶν, ἀποδιδόντων αὐτό, τῶν μὲν εἰς ὅλην τὴν νοτείαν Θεσσαλίαν, τῶν δὲ εἰς μέρος ταύτης, ἄλλων δὲ διατεινόντων αὐτὸ ἀπὸ τὴν παλαιὰν Φάρσαλον ἕως τὰς Φθιώτιδας Θήσας (Βιβλ. θ'. κεφ. ε'. § 6). ὁ δὲ Ἀριστοτέλης τὴν θέτει περὶ τὴν Δωδώνην καὶ τὸν Ἀχελῶον (Μετεωρολ. βιβλ. α'. κεφ. ιδ'.). ἀλλ', ὁ τόπος οὗτος σχεδὸν ὅλος ἦτον εἰς τὸν καιρὸν τοῦ ἱστορικοῦ μέρος τῆς τότε Αἰτωλίας (Βλέπ. σελ. 222). Βλαχίαν δὲ ἐν Ἑλλάδι αὐτὰς ἐννοεῖ, ὡς φαίνεται ἀπ' ὅσα περὶ αὐτῆς ἀναφέρει, τὴν Πελασγιῶτιν Θεσσαλίαν, μάλιστα τὴν ὀρεινοτέραν, Χάσια τώρα λεγομένην. τοῦτο βιβαιόνει καὶ τὸ σχόλιον, λανθανόμενον μόνον, καθ' ὅτι θέτει αὐτὴν εἰς τὰς πόλεις τῶν Τρικκάλων καὶ τῆς Λαρίσσης, ἐνῷ οἱ Βλάχοι ἔπρεπε νὰ κατοικοῦν τοὺς ὀρεινοὺς μόνον τόπους, ὡς ἀπὸ τὴν ἀρχὴν ἕως τώρα φαίνονται. τὴν λέγει δὲ Ἑλλαδικὴν πρὸς διάκρισιν ἀπὸ τὴν ὑπὲρ τὸν Δούναβιν Βλαχίαν ἢ καὶ ἄλλα μέρη τῆς Ἑλλάδος, κατοικούμενα ἀπὸ Βλάχους, καθώς, διὰ παράδειγμα, τὴν Δολοπίαν, ὀνομασθεῖσαν πρὸ τῶν χρόνων τοῦ σχολιαστοῦ τοῦ Θουκυδίδου Ἀνωβλαχίαν, ὡς διὰ τούτων φανερόνει· "Δολοπία ἡ νῦν καλουμένη Ἀνόβλαχα" (γρ. Ἀνώβλαχα, ἢ μᾶλλον Ἀνωβλαχία). σελ. 146.*

vocatur, atque anno 6858 diadema sibi imposuit et rex a satrapis suis salutatur et totam vastat terram Graecam, urbes autem in ea sitas et terras, partim oppugnatione captas partim gratia atque donis honoratas in ditionem suam redegit. deinde etiam Valachiam in Graecia sitam transgreditur, et huic cum urbe Ioannina sibi subiectae unum ex suis satrapis, nomine dictum Prelumpum, imperatorem constituit, dignitate caesarea eum honorans. suum autem fratrem, nomine Symeonis vocatum, qui ex filia sororis regis Palaeologi oriundus

Αἰτωλίαν ἐξέπεμψεν, ἀρχηγὸν καὶ ἡγεμόνα ταύτης καταστήσας· ὃς ἐνταῦθα γενόμενος τὴν τοῦ μακαρίτου δεσπότου Ἰωάννου θυγατέρα μνηστεύεται, Θωμαΐν καλουμένην, ὀρφανὴν μὲν πατρὸς οὖσαν, ἐπὶ μητρὶ δὲ μόνῃ τὰς ἐλπίδας σαλεύουσαν καὶ ἐπ' ἀδελφῷ νέῳ, ὃν ὡς ὅμηρον ὁ βασιλεὺς Ῥωμαίων εἰληφὼς εἰς Κωνσταντινούπολιν ἤγαγε, καὶ τὴν τοῦ Κανταχουζηνοῦ θυγατέρα ἐπιγαμβρεύσας αὐτῷ ἐκεῖσε εἶναι πεποίηκεν. ἡ δὲ μήτηρ τούτων τῶν παίδων, τῆς τε Θωμαΐδος φημὶ καὶ τοῦ αὐτῆς ἀδελφοῦ, ἡμῶν δὲ βασιλίς, Ἄννα, ἐπιγαμβρεύεται ἑαυτῇ ἄρχοντά τινα ἐκ τῶν Βουλγάρων, δεσπότην Κομνηνὸν καλούμενον, ἀδελφὸν ὄντα τοῦ βασιλέως Στεφάνου, καὶ ἄνω ἐπὶ τὰ Κάνινα καὶ τὰ Βελλάγραδα χωρεῖ, τὸν Συμεὼν μόνον μετὰ τῆς βασιλίσσης Θωμαΐδος τῆς ἰδίας γαμετῆς καταλιποῦσα ἐν ὅλῳ τῷ δεσποτάτῳ ἤτοι τῇ Αἰτωλίᾳ πάσῃ, ὡς κλήρῳ ὄντι ἐκ προγόνων αὐτῆς καὶ τοῦ ταύτης αὐταδέλφου.

Μετὰ δέ τινα χρόνου παραδρομὴν ἐκ ποδῶν ὁ βασιλεὺς Στέφανος γεγονὼς καὶ πρὸς τὰ μέλλοντα ἀπάρας δικαιωτήρια, ἔτι δὲ καὶ οἱ τούτου σατράπαι, οὐ μὴν ἀλλὰ καὶ ὁ τὴν τῆς Βλαχίας εἰληφὼς ἀρχὴν Καῖσαρ ὁ Πρέλουμπος καὶ αὐτὸς ἐξάνωθεν γενόμενος, ἐπιδημεῖ τῇ ἐν Ἑλλάδι Βλαχίᾳ ἐκ τῆς βασιλίδος τῶν πόλεων ὁ τῆς εὐσεβοῦς βασιλίδος αὐτάδελφος Νικηφόρος ὁ δεσπότης, καὶ ταύτην ὑφ' ἑαυτὸν ποιησάμενος, πρὸς δὲ καὶ τὴν πρώην ἀρχὴν ἤτοι τὸ δεσποτάτον εἰληφώς, τὸν δὲ ἴδιον γαμβρόν, τὸν δεσπότην λέγω

erat, cum tyrannum creasset, in Aetoliam misit, huius provinciae ducem et imperatorem eum constituens, qui cum ibi esset, Ioannis tyranni beati filiam in matrimonium duxit, Thomäim, orbam patre et in matre sola spem moventem, et in fratre iuvenili, quem in obsidum numero acceptum Graecorum rex Constantinopolim duxerat, et Cantacuzeni filia in matrimonium data ibi commorantem fecerat. mater vero horum liberorum, Thomäidis dico eiusque fratris, Anna regina nostra duci cuidam ex Bulgaris, Comneno tyranno, fratri regis Stephani, nupsit, et Caninam et Belgradam secessit, Symeone solo cum Thomäide regina, eius uxore, relicto tota tyrannide, nimirum tota Aetolia, quae patrum memoria sors eius fuit et fratris.

Post temporis autem spatium cum rex Stephanus morti occubuisset et ad futurum iudicium abiisset, praeterea etiam satrapae eius, atque adeo qui Valachiae imperium acceperat, Caesar Prelumpus, et ipse superior factus, ingreditur in Valachiam Graecam e regina urbium Nicephorus dominus, pater reginae piae, et cum eam sibi subiecisset, praeterea etiam imperium prius, tyrannidem nimirum, recepis-

Συμεὼν, τῆς ἀρχῆς ἐκβαλὼν εἰς Καστορίαν ἐκπέμπει μετὰ τῆς βασιλίσσης Θωμαΐδος, αὐτὸς δὲ πᾶσαν περιζώννυται τὴν ἀρχὴν τῆς τε ἐν Ἑλλάδι Βλαχίας καὶ αὐτῆς τῆς Αἰτωλίας.

Ὁ δέ γε Συμεὼν ἐν Καστορίᾳ γενόμενος, καὶ ταύτην λαβὼν παραυτίκα καὶ φρούριά τινα καὶ πόλεις καὶ χώρας πλείστας, ἐν τῇ Καστορίᾳ τὴν οἴκησιν ἐποιήσατο. πολλῶν δὲ τούτῳ προσχωρησάντων Ῥωμαίων Σέρβων καὶ Ἀλβανιτῶν, καὶ εἰς τέσσαρας ἢ καὶ πέντε χιλιάδας τοῦ αὐτοῦ στρατεύματος ἀριθμηθέντος, βασιλεὺς παρ' αὐτῶν ἀναγορεύεται καὶ τῆς Καστορίας ἐξέρχεται, πρὸς δὲ τὰ τῆς Σερβίας ἐκστρατεύει ὅρια, ὡς τὴν ἑαυτοῦ δῆθεν καὶ τοῦ αὐταδέλφου αὐτοῦ Στεφάνου ἀρχὴν παραληψόμενος. οὔπω δὲ τῷ ποδὶ τῇ ἀρχῇ τῆς Σερβίας προσηρείκει, καὶ ὁ τοῦ δεσπότου Νικηφόρου θάνατος αὐτῷ προσαγγέλλεται. οὗτος γὰρ ἐκ τῆς Κωνσταντινουπόλεως ἐλθὼν, ὡς ἔφημεν, καὶ δύο ἐπαρχιῶν τὴν ἀρχὴν σφετερισάμενος, τῆς Βλαχίας φημὶ καὶ τοῦ δεσποτάτου, καὶ τοὺς Ῥωμαίους πάντας ἐξορίστους εὑρὼν, τοὺς μὲν τῆς Βλαχίας ἐκ τῆς τῶν Σέρβων ἐπιθέσεως, τοὺς δὲ τῆς Αἰτωλίας ἐκ τῆς τῶν Ἀλβανιτῶν δυστροπίας καὶ κακογνωμίας, τούτους δὴ βουλόμενος ἐπισυνάξαι καὶ πρὸς τὰς ἰδίας ἀποκαταστῆσαι κληρονομίας, τοὺς δὲ Ἀλβανίτας τέλεον ἐκδιῶξαι τοῦ τόπου, οὐκ ἔφθη τοῦτο ποιῆσαι· ἀξιόμαχον γὰρ δύναμιν ἰδίαν μὴ κεκτημένος Τούρκους προσεκαλέσατο εἰς συμμαχίαν. ἐλθὼν δὲ εἰς Ἀχελῷον, καὶ πόλεμον συγκροτήσας μετὰ τῶν Ἀλβανι-

set, sororis virum, dominum dico Symeonem, imperio eiecit et Castoriam misit cum Thomäide regina, ipse autem tutum sibi arrogat imperium Valachiae Graecae et Aetoliae ipsius.

Symeon cum Castoriam advenisset, eamque illico cepisset et castella nonnulla et urbes et regiones plurimas, Castoriae domicilium constituit; cui cum multi accessissent Graeci, Serbi, Albanitae, aucto circiter quatuor aut quinque milia eius exercitu, ille ab iis rex appellatur; et Castoria egreditur, atque ad Serbiae fines proficiscitur, suum videlicet et fratris Stephani imperium recepturus. nondum tamen ad Serbiae imperium accesserat, cum Nicephori domini mors ei nuntiaretur. hic enim qui e Constantinopoli venerat, ut diximus, et ambarum imperium provinciarum arripuerat, Valachiae dico et tyrannidis, cum Graecos omnes expulsos reperisset, Blachianos Serborum insidiis, Aetolos Albanitarum difficilitate et invidia, hos igitur reducturus et in eorum possessiones restituturus, Albanitas autem omnino expulsurus terra, consilium suum non est exsecutus; cum enim pugnae parem non haberet exercitum, Turcos advocavit in societatem.

τῶν, κατακρατεῖται ὑπ' αὐτῶν καὶ ἀναιρεῖται, τριετίαν μόνον ἄρξας ἐπὶ μησὶ δύο καὶ ἡμέραις τισίν, ἔτους ὑπάρχοντος 6866, ἀπὸ δὲ Χριστοῦ 1358.

Τοῦτο μαθὼν ὁ βασιλεὺς Συμεών, τὰ τῆς Σερβίας καταλιπὼν ὅρια, κατὰ τῆς Βλαχίας ἐκστρατεύει καὶ ταύτης ἐγκρατὴς γίνεται· καὶ ἐν τῇ τῶν Τρικκάλων πόλει τὰ βασίλεια ἐπήξατο, καὶ τὴν Αὐγοῦσταν Θωμαΐδα ἐκ τῆς Καστορίας μετακαλεσάμενος ἐντὸς τῆς πόλεως τῶν Τρικκάλων ταύτην εἰσάγει, καὶ ἐπὶ τὴν τῶν βασιλείων ἀναβιβάσας αὐλὴν ἐκεῖσε αὐτὴν κατέλιπεν ἐπὶ δυσὶ τέκνοις, ὧν τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ. αὐτὸς δὲ ἐπὶ τὴν Αἰτωλίαν ἐχώρει· ἔσπευδε γὰρ κἀκείνην ὑφ' ἑαυτὸν ποιήσασθαι. ὅπερ καὶ γέγονεν· οἱ γὰρ Αἰτωλοὶ ἀσμένως αὐτὸν προσεδέξαντο καὶ ὡς βασιλέα εὐφήμησαν, καὶ τὴν Ἄρταν σὺν τοῖς Ἰωαννίνοις αὐτῷ παραδεδώκασι μετὰ τῶν λοιπῶν φρουρίων, ὧν ἡ Αἰτωλία πᾶσα κέκτηται. δώροις οὖν ὁ φιλόχριστος βασιλεὺς Συμεὼν τοὺς προύχοντας τῶν Αἰτωλῶν δεξιωσάμενος πάλιν ὄπισθεν ἐπὶ τὴν Βλαχίαν παραγίνεται· ἐκάλει γὰρ αὐτὸν ἡ τοῦ Χλαπένου ἐπέλευσις.

Οὗτος δὲ ὁ Χλάπενος, εἷς ὢν τῶν Σερβικῶν σατραπῶν καί τινα φρούρια ἐπὶ τῶν Ῥωμαϊκῶν ὁρίων εἰληφώς, ἀλλὰ δὴ καὶ τὴν μεγαλόδοξον πόλιν Βέρροιαν, μεγάλως ἐπὶ τοῖς κατορθώμασιν ἐσεμνύνετο, καὶ γυναῖκα λαμβάνει τὴν τοῦ Πρελούμπου ἐκείνου γαμετήν, ὃν ὁ λόγος φθάσας ἐδήλωσε

cum autem ad Acheloum venisset, et manum cum Albanitis conseruisset, ab iis vincitur et interficitur, postquam tres tantum annos et menses duo et dies nonnullos regnavit, anno 6866, p. Chr. n. 1358.

Quod postquam audivit Symeon rex, Serbiae finibus relictis contra Valachiam proficiscitur rerumque potitur, atque in urbe Triccala sedem regiam constituit et Thomaïm imperatricem Castoria arcessitam intra urbem Triccalam induxit, et postquam eam ad palatium regiae sedis arcessivit, ibi eam reliquit cum duobus liberis, quorum alter puer, altera erat puella. ipse autem contra Aetoliam profectus est: studebat enim, illam quoque in potestatem suam redigere, id quod evenit: Aetoli enim eum libenter receperunt, et regem eum salutarunt, et Artam cum Ioanninis ei dediderunt atque cetera castella, quae Aetolia tota possidet. donis igitur cum Christi amans rex Symeon Aetolorum potentes honorasset, rursus ad Valachiam revertitur, coegit enim eum Chlapeni adventus.

Hic autem Chlapenus, unus satraparum Serbicorum, cum quaedam castella ad Graecorum fines cepisset, atque adeo illustrem urbem Verriam, valde propter eventum se iactabat, et uxorem duxit mulierem Prelumpi illius, quem narratione superiore in Valachiam antea do-

τῆς Βλαχίας προκατάρξαντα. τεθνηκὼς γὰρ ὁ Πρέλουμπος ἐκεῖνος κατέλιπε ταύτην ἐν τῇ τῶν Τρικκάλων πόλει μετὰ τῶν υἱέων ἑνὸς τοῦ ὕστερον τυραννήσαντος τὴν πολυθρύλητον τῶν Ἰωαννίνων πόλιν, καὶ τὸ λάβδα ταύτης ἀφελόντος, καὶ νῦ ἀντὶ τοῦ λάβδα προσθέντος αὐτῇ· τὸ γὰρ πολυθρύλητον εἶναι ταύτην καὶ λέγεσθαι μὴ ἀνεχόμενος πολυθρήνητον πεποίηκεν. ἀλλὰ ταῦτα μὲν πρόσω διηγησόμεθα· ἄρτι δὲ ὁ λόγος τὸν εἱρμὸν ἐχέτω τῆς διηγήσεως. ὁ γὰρ μακαρίτης ἐκεῖνος δεσπότης Νικηφόρος ὁ Δούκας, ὃν ὁ λόγος φθάσας ἄνωθεν ἐδήλωσεν, ἐκ τῆς Κωνσταντινουπόλεως ἐλθὼν καὶ τὴν εἰρημένην Πρελούμπισσαν τῆς ἀνδρῴας ἀρχῆς ἐκβαλών, πρὸς τὴν τῶν Σέρβων ἐκπέμπει γῆν σὺν τῷ αὐτῆς υἱῷ Θωμᾷ· κἀκεῖσε τῷ τοῦ βασιλέως Στεφάνου υἱῷ Οὐρέσῃ ἐντυχοῦσα μνηστεύεται παρ' αὐτοῦ τῷ εἰρημένῳ Χλαπένῳ. οὗτος δὲ μετὰ χρόνον ἢ καὶ πλεῖον κατὰ τῆς Βλαχίας ἐκστρατεύει, συνεπαγόμενος μετ' αὐτοῦ καὶ τὸ κάκιστον τοῦ Πρελούμπου γέννημα, εἰς νεανίσκους ἤδη τελοῦν· ἐπὶ τῇ Βλαχίᾳ δὲ φθάσας μετὰ τῶν στρατευμάτων, καὶ φρούριον ἓν πολιορκίᾳ εἰληφώς, Δάμασιν καλούμενον, εἰς ξυμβιβάσεις μετὰ τοῦ βασιλέως χωροῦσι Συμεών, καὶ τὸ φρούριον τοῦτο παραχωροῦσιν. ὁ δὲ βασιλεὺς τὴν ἰδίαν θυγατέρα εἰς γάμον δίδωσι τῷ Θωμᾷ· καὶ κηδεστὴν αὐτὸν ποιησάμενος ἐντὸς τῆς πόλεως τῶν Τρικκάλων εἰσέρχεται ὁ Θωμᾶς· ὁ δὲ βασιλεὺς Συμεὼν ἀσμένως τοῦτον ὑποδέχεται καὶ τὴν θυγατέρα ἐκδίδωσι, τοῦ

minatum esse docuimus. mortuus enim Prelumpus ille reliquit hanc in urbe Triccala cum filiorum uno, qui in celebrem urbem Ioanninam postea dominatus litteram lambda ei detraxit eique litteram ny pro lambda addidit: etenim celebrem (*πολυθρύλητον*) esse hanc et nominari non passus, lugubrem (*πολυθρήνητον*) eam reddidit. sed haec quidem postea narrabimus; nunc autem oratio ordinem et seriem retineat narrationis. beatus enim ille dominus Nicephorus Ducas, de quo narratione superiore dictum est, e Constantinopoli profectus cum Prelumpi uxorem de qua diximus, e viri regno eiecisset, ad Serborum terram cum Thoma eius filio eam misit, ibique Uresem Stephani regis filium nactus in matrimonium per eum Chlapeno datur, de quo diximus. hic autem post annum aut plus adversus Valachiam proficiscitur, secum adducens etiam pessimum Prelumpi filium, qui iam numerabatur inter iuvenes; Valachia autem occupata exercitibus, et castello uno oppugnatione capto, cui nomen erat Damasis, cum rege Symeone in gratiam redeunt, et castellum hoc ei concedunt. rex autem filiam suam in matrimonium dat Thomae; qui cum eum soce-

μητροπολίτου Λαρίσσης τὴν μνηστείαν τελέσαντος. τοῦ γάμου δὲ ἤδη ἀπαρτισθέντος, καί τινας ἡμέρας ὁ Θωμᾶς ἐκεῖσε προσκαρτερήσας, τὴν ἐνεγκαμένην ὑπέρχεται πρὸς τῷ αὐτοῦ πατρομητρίῳ Χλαπένῳ, συνεπαγόμενος ὕστερον καὶ τὴν ἰδίαν γαμετήν.

Ὁ δὲ βασιλεὺς Συμεὼν μόνης φροντίζων τῆς Βλαχίας τὴν Αἰτωλίαν ἅπασαν τοῖς Ἀλβανίταις παραχωρεῖ, καὶ εἰς δύο ἡ ἐπαρχία πᾶσα μερίζεται, καὶ δεσπόται ἐκ τοῦ τῶν Ἀλβανιτῶν γένους ἀναδείκνυνται δύο, ὧν ὁ μὲν τὸν Ἀχελῷον καὶ τὰ ἐπέκεινα σὺν τῷ Ἀγγελοκάστρῳ ἐκληρώσατο, Γίνος Βάϊας ὀνομαζόμενος, θάτερος δὲ τὴν Ἄρταν καὶ τοὺς Ῥωγοὺς ἐσφετερίσατο, Πέτρος καὶ οὗτος Λεώσας ὀνομαζόμενος· καὶ συντόμως εἰπεῖν, ἡ Αἰτωλία πᾶσα ὑπὸ χεῖρα τῶν Ἀλβανιτῶν ἐγεγόνει. μόνη δὲ ἦν ἡ τῶν Ἰωαννίνων πόλις μὴ ὑποκύψασα τῇ τῶν Ἀλβανιτῶν ἐπικρατείᾳ· ἐτύγχανον γὰρ ἐν αὐτῇ ἄνδρες ἐπισημότατοι καὶ τῶν εὖ γεγονότων. ἀλλὰ δὴ καὶ ἐκ τῶν τῆς Βαγενιτίας φρουρίων πολλοὶ τῶν εὐγενεστέρων τῇ τῶν Ἰωαννίνων ἐπεδήμησαν πόλει. καὶ εἰς ἓν ἅμα γενόμενοι οἵ τε Ἰωαννῖται καὶ οἱ ἔξωθεν ἐλθόντες διαπρεσβεύονται πρὸς τὸν βασιλέα τὸν εὐσεβέστατον Συμεών, καὶ ἐξαιτοῦνται αὐθέντην καὶ ἡγεμόνα δοθῆναι αὐτοῖς. ἀσμένως οὖν τὴν αὐτῶν προσδεξάμενος πρεσβείαν ὁ βασιλεὺς περὶ τοῦ Θωμᾶ κοινολογεῖται τοῖς πρέσβεσιν.

rum sibi conciliasset, intra urbem Triccalam ingreditur: Symeon autem rex eum libenter accipit, et filiam tradit, cum metropolita Larissae ritus nuptiales perfecisset. nuptiis iam confectis Thomas cum aliquot dies ibi esset versatus, visit eam, quae ei uxorem adduxerat, apud matris patrem Chlapenum, et postea etiam uxorem suam adduxit.

Symeon rex cum solius curam gereret Valachiae, Aetoliam totam Albanitis concessit, et in partes duas provincia tota dividitur, et domini ex Albanitarum genere creantur duo, quorum alter Acheloum et quae ultra eum sunt sita cum Angelocastro sortitus est, appellatus Ginos Baias; alter Artam et Rogos sibi arrogavit, Petrus Leosas appellatus, et, ut breviter dicam, Aetolia tota in manum cessit Albanitarum. sola erat Ioannina urbs, qui se non submitteret Albanitarum imperio, erant enim tum maxime in ea viri maxime insignes, et e numero nobilium, sed etiam e Bagenitiae castellis multi nobiles Ioanninam urbem migrarunt, atque congressi, et Ioannitae et qui extrinsecus venerant, ad regem piissimum Symeonem legatos mittunt, et postulant, ut dominus sibi et dux daretur. libenter igitur legatione eorum accepta rex de Thoma cum legatis agit.

Ἔλαθον δὲ οἱ Ἰωαννῖται τὸ μεῖζον κακὸν εἰς ἑαυτοὺς ἐπισπώμενοι· τὴν γὰρ δουλείαν φεύγοντες τῶν Ἀλβανιτῶν μείζοσι κακοῖς ἑαυτοὺς περιέβαλον. τότε δὴ πρέσβεις εἰς Βοδενὰ παρά τε τοῦ βασιλέως καὶ τῶν Ἰωαννιτῶν ἐκπέμπονται (ἐκεῖσε γὰρ ὁ Θωμᾶς τὴν οἴκησιν εἶχε), καὶ γνωρίζουσιν αὐτῷ τὰ τῆς βασιλείας ἅπαντα. δέχεται τὴν πρεσβείαν ὁ Θωμᾶς, ἐπακολουθεῖ τοῖς πρέσβεσι προθύμως, καὶ καταλαμβάνει τὴν πολυθρύλητον τῶν Ἰωαννίνων πόλιν σὺν τῇ εὐσεβεῖ βασιλίσσῃ Ἀγγελικῇ τῇ Παλαιολογίνᾳ τῇ τούτου εὐμενεστάτῃ, ἔτους ὑπάρχοντος 6875, ἀπὸ δὲ Χριστοῦ 1367, συνεπαγόμενος μεθ' ἑαυτοῦ καὶ στράτευμα εὐαρίθμητον. δέχονται τοῦτον οἱ Ἰωαννῖται ὑπτίαις χερσὶν ἐντὸς τῆς πόλεως αὐτῶν μετὰ μεγίστων κρότων καὶ εὐφημιῶν. ὁ δὲ τὴν ἀλωπεκῆν ὑπενδὺς ὑπούλως καὶ δολερῶς πάντας εἰς ἑαυτὸν ἐπεσπάσατο. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τὴν ἀλωπεκῆν ἀποτίθεται, τὴν δὲ λεοντῆν ὑπενδύεται.

Καὶ πρῶτον μὲν κατὰ τῆς ἐκκλησίας χωρεῖ, καὶ τὸν ποιμένα ταύτης ἐξωθεῖ· Σεβαστιανὸς δ' οὗτος ἦν, ἀνὴρ ἔργῳ καὶ λόγῳ διαβόητος. ἀφαιρεῖ δὲ τὰ προσόντα τῇ ἐκκλησίᾳ χωρία καὶ κτήματα, καὶ ταῦτα τοῖς μετ' αὐτοῦ Σέρβοις ἀπονέμει· καὶ μελανένδυτος, φεῦ, καὶ σκοτοδυτοῦσα ἡ τῶν Ἰωαννίνων μητρόπολις γίνεται, τὸν ποιμένα ἑαυτῆς μὴ ἔχουσα, ἕως οὗ καὶ εἰς παντελῆ ἐρημίαν ἡ ἐκκλησία αὕτη κατήντησε. καὶ χορτοθήκας καὶ σιτοθήκας τὰ ἐν αὐτῇ οἰκήματα πε-

Neque Ioannitae maius se malum accipere senserunt, etenim cum servitutem per Albanitas instantem fugerent, in maiora sese mala proripuerunt. tum igitur legati Bodenam a rege et Ioannitis mittuntur (ibi enim Thomas habitabat) et deferunt ei regni omnia insignia. accipit dignitatem Thomas, prono animo legatos sequitur, recipitque Ioanninam urbem celebrem cum Angelica Palaeologa, regina pia, quae huius erat carissima uxor, anno 6875, p. Chr. n. 1367, secum adducens etiam exercitum non ita magnum. Ioannitae eum supinis manibus in urbem suam maximis cum clamoribus et laudationibus recipiunt. ille autem pelle vulpis indutus tecte et dolose omnes ad se traxit, neque multum interfuit tempus, et vulpis pelle exuta leonis induit pellem. atque primum quidem contra ecclesiam se convertit, et pastorem eius expellit.

Fuit hic Sebastianus, vir factis et verbis clarus. iustas ecclesiae urbes et possessiones aufert, et Serbis suis tribuit; et nigra, heu! et obscura fit Ioannina metropolis, cum pastorem suum non iam haberet; donec etiam ad solitudinem plenam ecclesia haec descendit, et aedificia eius reddidit cellas pabuli et frumenti, et postea

ποίηκε, κἂν τῷ ὕστερον καὶ κατὰ τῶν θείων σκευῶν χεῖρα κινῆσαι τετόλμηκε. καὶ οὕτω μὲν τὰ τῆς ἐκκλησίας ἐποίει.

Εἶτα καὶ κατὰ τῶν εὐγενεστάτων κακὴν χεῖρα κινεῖ. οὕτω τὸν Βατάτζην καὶ κὺρ Κωνσταντῆν μετὰ τοῦ καβαλαρίου Μυρσιώσῃ τοῦ Ἀμυραλῇ ἐν τῇ φρουρᾷ ἀποκλείσας, καὶ δολίως αὐτοὺς τυραννήσας, τὸν μὲν Βατάτζην ἐξόριστον ἐκπέμπει, τὸν Ἀμυραλῆν δὲ ἐάσας ἐντίμως αὐτὸν πάλιν εἶχε· τοὺς δὲ λοιποὺς παραβλέψαντος οἱ μὲν φυγάδες ᾤχοντο, οἱ δὲ εἰς ἀποστασίαν ἐτράποντο· ἐξ ὧν καὶ ὁ Βαρδινός, ὁ κρατῶν τοῦ κάστρου τοῦ ἁγίου Δονάτου, αὐτὸν ἐξηρνήσατο. μετ' αὐτῶν δὲ καὶ ὁ Καψοκαβάδης κὺρ Ἰωάννης, ὁ ἐν τῷ τῆς Ἀρεοχοβίτζας πύργῳ, ἑαυτὸν ἀπεσπάσατο. οἱ δὲ οἰκειακοὶ αὐτοῦ ἔντιμοι Σέρβοι οἱ μὲν κρυφίως ἀπ' αὐτοῦ ἔφυγον, οι δὲ φανερῶς, μὴ δυνάμενοι ὑπομένειν τὴν αὐτοῦ μανιώδη σκαιότητα, ἀπ' αὐτοῦ ᾤχοντο καὶ ἀπεδήμουν, ὡς μικροῦ πάντες αὐτὸν ἐξέλιπον. ἀμέλει καὶ αὐτὸς ὑπέμενε, τὰ ἑαυτοῦ φρονῶν, κυριευόμενος ὑπὸ τῆς πλεονεξίας καὶ φιλαργυρίας· μικρὰ γὰρ πᾶσα κακία πρὸς κακίαν τὴν τοῦ Θωμᾶ.

Εἶτα καὶ κατὰ τοῦ λαοῦ τοῦ κάστρου κακῶς χεῖρα ἐκτείνει. ἀνὴρ γάρ τις τῶν ἐντίμων τῆς πόλεως, Ἡλίας Κλαυσῆς ὀνομαζόμενος, προσεκαλέσατο αὐτὸν ἀνάδοχον εἰς τὸ ἑαυτοῦ γνησιώτατον τέκνον. διὰ δὲ τὸ ὑπάρχειν αὐτῷ κτήματα πολλὰ καὶ εἶναι πλούσιον κακῶς καὶ ἀνηλεῶς αὐτὸν ἐτυράν-

etiam supellectili divinae manum admovere ausus est, atque hac quidem ratione ecclesiam tractavit.

Deinde etiam nobilissimis malas admovet manus ut Batatzen et dominum Constantem cum equite Myrsiose Amurale postquam in castello inclusit et dolose cruciavit, Batatzen quidem exsulem eiecit, Amuralem autem relinquens rursus honoribus donavit; ceteros autem cum non curaret, alii celeriter fugerunt, alii ad seditionem se converterunt, quorum in numero etiam Bardinus fuit, gubernator castelli sancti Donati, qui ei se denegavit, cumque iis etiam dominus Ioannes Capsocabades, qui in Areochobitzae arce dominus erat, se ab eius societate retraxit. ex ipsius autem gente Serbi nobiles, alii clam aufugerunt, alii aperte, cum eius importunitatem insanam ferre non possent, ab eo discesserunt et emigraverunt, ita ut paene omnes eum relinquerent. nihilominus ipse duravit, quanquam vitia sua animadvertit, subiectus habendi cupidini et avaritiae, parva enim omnis pravitas videbatur pro pravitate Thomae.

Deinde etiam contra populum arcis manum erexit. homo enim ex nobilibus urbis, Elias Clauses appellatus, eum filii sui verissimi

νησε· διὰ γὰρ τὰ χρήματα τὴν γαστέρα αὐτοῦ πυρὶ κατέσταλαξε καὶ τὰς μασχάλας λαμπάσι πυρὸς κατέφλεξε, τῷ δὲ στόματι αὐτοῦ μάχαιραν ἐνθεὶς ὕδωρ μιγὲν μετὰ σταχτὸς ἐνέχει. τοσοῦτον γὰρ ἦν φιλόχρυσος ὁ μισόχριστος ὅτι τὸ πάντων ἔσχατον τῶν κακῶν, τὴν δευτέραν εἰδωλολατρείαν, τὴν φιλαργυρίαν φημί, ὡς οὐδεὶς τῶν ἀνθρώπων ἑαυτῷ ἐθησαύρικεν, ὃς καὶ διὰ τοῦτο ἀνθρωποκτόνος ἀποκατέστη.

Ἕως ὅτου ἔφθασε, κατὰ τὸ γνωμικὸν αὐτοῦ, ἔχειν ἄνδρας τῆς ἑαυτοῦ βουλῆς καταλάλους, κοιλιοδούλους, ἐπιβούλους, καταδύτας καὶ φαύλους, τὸν ἔργῳ ἐπονομαζόμενον Κουτζοθεόδωρον καὶ Μανουὴλ τὸν Τζηπλινὸν καὶ Μιχαὴλ τὸν Ἀψαρᾶν, ὃν καὶ πρωτοβεστιάριον τετίμηκεν. οὗτος τοίνυν ὁ Ἀψαρᾶς τὸν πρωτεξάδελφον αὐτοῦ Νικηφόρον τὸν Βεταλᾶν δολίως πρὸς αὐτὸν ἐψιθύρισε· καὶ ὁ δεσπότης Θωμᾶς τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξορύττει, καὶ μετὰ τῶν γονέων αὐτοῦ καὶ ἑτέρων συγγενῶν εἰς ἐξορίαν ἐκπέμπει, καὶ τὸν Ἀψαρᾶν πλεῖον πάντων φιλεῖ. καὶ οὕτως ἐκ συνθήματος τούτου τοὺς Ἰωαννίτας πάντας προδότας δολίους καὶ φαύλους ἐπωνόμαζε. καὶ οὐ μόνον κατηγόρευεν, ἀλλὰ καὶ παντελῶς κακῶς αὐτοὺς εἶχε.

Παραυτίκα δὲ καὶ λοιμὸς μέγας καὶ θανατηφόρος τῇ πόλει τῶν Ἰωαννίνων γίνεται, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν ἀλλὰ

patrem lustralem advocavit; cum autem ei adessent multa bona divesque ille esset, male et crudeliter eum cruciavit. propter bona enim ventrem igne complevit, et axillas facibus igneis adussit, ori autem eius pugionem imponens aquam cum cinere mixtam infudit: adeo enim erat auri amans ille Christo infestissimus (id quod omnium est extremum malorum, alteram illam superstitionem, avaritiam dico, ut nemo sibi quidquam conderet,) ut hac re sicarius fieret.

Antea autem ex sententia sua viros habuit senatus sui maledicos, ventri deditos, insidiosos, proditores pravosque, ut vocatum ex re ipsa Kutzotheodorum, et Manuelem Tzeplinum, et Michaelem Apsaram, quem etiam protovestiarii (i. e. custodis primi vestium) honore donavit. hic igitur Apsaras Nicephorum Betalam patruelem suum dolose ad eum detulit, et Thomas dominus oculos eius effodi iubet, eumque cum parentibus et aliis cognatis in exilium mittit, et Apsaram magis quam omnia amat, atque hac ratione e tali exemplari Ioannitas omnes proditores, dolosos, pravosque appellat, neque solum accusabat, sed etiam omnino eos male tractabat.

Tum autem etiam pestilentia magna et mortifera in urbe Ioannina grassari coepit, non simplici modo neque sola, sed revera

τῷ ὄντι τῆς μεγάλης κακίας τοῦ Θωμᾶ ἐκχέων τὴν ὠμότητα, ἔτει 6876, ἀπὸ δὲ Χριστοῦ 1368. τοῦ λοιμοῦ τοίνυν παυσαμένου, κακοπραγίᾳ τῶν Ἰωαννίνων ἤρξατο ὁ Θωμᾶς τὰς χήρας γυναῖκας μνηστεύειν μετὰ τῶν Σέρβων, καὶ προσεκτίζειν αὐτοῖς τὰ κτήματα καὶ τὰ πράγματα τῶν τοπικῶν· καὶ πρῶτον μὲν ἐξεφώνησεν ἐξαλήματα, ἔπειτα δὲ τοὺς ὀρφανοὺς ἀλλοτρίους τῶν ἰδίων κτημάτων ἀποκαθιστᾷ. καὶ ἁπλῶς ἅπαντας ἄνδρας καὶ γυναῖκας μισῶν ἐξωλόθρευε. καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ τῶν τότε κακοπραγιῶν τοῦ Θωμᾶ ἃς ἐνόμευσε τῇ πόλει, περὶ τοῦ οἴνου τὴν σίκλαν, καὶ τῶν ἀγγαρειῶν καὶ τῶν ζημιῶν καὶ τῶν δαρμῶν τοῦ ὅλου χρόνου, καὶ ἄλλα τινὰ πάθη, ἤγουν κοιμήτατα καὶ πορνείας καὶ μονοπώλια, ἅτε τοῦ οἴνου καὶ τοῦ σίτου, ἄλλοτε δὲ καὶ τῶν κρεῶν, ὁτὲ δὲ καὶ τῶν τυρῶν, ἀεί ποτε δὲ τῶν ἰχθύων καὶ ὀπωρῶν, καὶ ποτὲ μὲν δι' ἑαυτοῦ, ποτὲ δὲ καὶ διὰ τῶν ἀρχόντων αὐτοῦ, καὶ ἄλλα πλεῖστα πάθη, ἃ οὐκ ἐξὸν ἀνθρώπων οὐδενὶ λαλεῖν· οὐδὲ γλῶσσα δυνηθείη ἐξειπεῖν τὰ τούτου πανουργεύματα καὶ μηχανήματα, πρὸς μὲν τοὺς τῶν ἐπιστημῶν τεχνίτας ζημίας καὶ ἀγγαρείας μετὰ δαρμῶν, πρὸς δὲ τοὺς ἀτέχνους καὶ ἐλευθέρους ἀνθρώπους δουλείαν ἄμισθον καὶ κόπον ἀδαπάνητον· μικρὰ γὰρ κακία πᾶσα πρὸς κακίαν τὴν τοῦ Θωμᾶ.

Καὶ ἦν ἀληθῶς πολυθρήνητος ὁρωμένη τότε ἡ πόλις

magnae pravitatis Thomae effundens crudelitatem, anno 6876, p. Chr. n. 1368. quae pestis cum desiisset, detrimento Ioanninae Thomas viduas nuptui dare Serbis coepit, et praeterea dare iis bona et possessiones incolarum, atque primum quidem spolia declaravit, postea autem pupillos alienos ab ipsorum possessionibus reddit, et uno verbo omnes et viros et mulieres odio suo exstinguebat, et quid amplius loquor? retinebit enim me tempus narrantem de Thomae facinoribus tum peractis, de vino, de operis tributariis, de poenis, de fustibus totius temporis, tribuit autem urbi alia quoque mala, ut coitum et scortationem et monopolia ut vini et frumenti, interdum etiam carnis, nonnunquam etiam casei, semper autem piscium et pomorum, idque nunc ipse per se, nunc per principes suos, et alia plurima mala, quae omnia nemo dicere potest, neque possit lingua narrare huius dolos et machinationes, contra doctos artifices poenas et operas tributarias et fustes, contra indoctos et liberales homines servitutem gratuitam et laborem mercedis expertem, parva enim omnis videbatur pravitas pro pravitate Thomae.

Eratque tum revera lugubris urbs Ioannina, poterat enim de

τῶν Ἰωαννίνων· εἶχε γὰρ ἐπὶ τῷ τοῦ ἀποστάτου κακῷ λέγειν "ἔσωθεν τρόμος, ἔξωθεν φόβος," πῇ μὲν τοῦ τυράννου, πῇ δὲ τῶν Ἀλβανιτῶν. οὐ πολὺ γὰρ τὸ ἐν μέσῳ ἐγένετο, καὶ οἱ Ἀλβανῖται κατ' αὐτοῦ ἐκστρατεύουσι, καὶ πολιορκεῖν τὴν πόλιν ἐγείρονται, καὶ χρόνον πρὸς χρόνον ἰχνηλατοῦντες οὐκ ἐῶσιν αὐτὴν ἐσοδιάζειν χρόνους τρεῖς. ὁ δὲ Θωμᾶς ἀληθῶς ἔχων τὸ ἑρμηνευόμενον αὐτοῦ ὄνομα, ἐν ἑαυτῷ οὕτως ἔχειν ἐπιχείρει· ἐν μὲν τῷ κάστρῳ τὸν λαὸν πάντα ἐμίσει, πρὸς δὲ τοὺς ἔξω καὶ ἀληθῶς ἐχθροὺς παντελῶς εἰρήνην οὐκ εἶχεν.

Ἔτι δὲ καὶ ὁ Πέτρος Λεώσας κατ' αὐτοῦ ἐκστρατεύει χρόνους τρεῖς μετὰ τῶν Μαζαρακίων καὶ Μαλακασαίων τῆς γενεᾶς αὐτοῦ. εἶτα εἰς ἀγάπην συνίστανται, καὶ τὴν ἑαυτοῦ θυγατέρα Εἰρήνην ὁ Θωμᾶς τῷ υἱῷ τοῦ Πέτρου Λεώσα, Ἰωάννῃ τοὔνομα, μνηστεύεται, καὶ εἰς γαλήνην μικρὰν ἡ πόλις τῶν Ἰωαννίνων γίνεται ὑπὸ τῶν Ἀλβανιτῶν, χρόνῳ πέμπτῳ.

Ἀλλ' ὁ Θωμᾶς εἰρήνην ποτὲ οὐκ εἶχεν, ἀλλὰ κακῶς τὴν πόλιν πάντοτε ἐτυράννει, καὶ τοὺς Ἀλβανίτας ἐκάκιζε κἂν τῷ ὕστερον παντελῶς ἐκάκωσε, καὶ παντοιοτρόπως αὐτοὺς ἐξηφάνιζε καὶ κατεξωλόθρευε· τὴν πόλιν γὰρ ὅλην ἐπλήρωσε τῶν Ἀλβανιτῶν τὰ τέκνα ὀψίδας ἑαυτῷ παρατιθέμενος. καὶ φυλακὰς δὲ καὶ κλωβία αὐτὸς ἐδείματο, καὶ παλιουρὴν ἀνή-

malis per sacrilegum excitatis dici; intra terror, extra consternatio, illic propter tyrannum, hic propter Albanitas; neque enim multum interfuit tempus cum Albanitae contra eum proficiscerentur, et ad urbem oppugnandam sese accingerent, et omni tempore attente versantes commeatu eam intercludunt per tres annos. sed Thomas, qui nomen suum explicatum iure habebat, talem se gerere conabatur, in castro homines omnes oderat, cum exteris autem, qui revera hostes erant, omnino pacem non iniit.

Iam autem etiam Petrus Leosas per tres annos cum Mazarakiis et Malacasaeis, qui erant ex gente eius, contra eum proficiscitur, deinde ad amicitiam se componunt, et Irenen filiam suam Thomas filio Petri Leosae, nomine dicto Ioanni, nuptum dat, et ad pacem brevem urbs Ioannina pervenit per Albanitas, anno quinto.

Sed Thomas pacem nunquam retinebat, sed urbem semper male cruciabat, et Albanitas vexabat, et postea omnino male tractavit, et omni modo eos exstinguebat et devastabat: urbem enim totam implevit, imponendo Albanitarum liberos, ut sibi essent obsides, atque carceres et barathra aedificavit, et carcerem perpetuum revocavit;

γειρεν· ἐνθυμητικώτατος γὰρ τοῦ κακοῦ ἦν εἰς τὸ ἄκρον, οὐ μὴν ἀλλὰ καὶ δαιμονιώδης, ὥστε τις ἀνὴρ τὰ θεῖα σοφὸς αὐτὸν προσηγόρευσεν οὕτως εἰπὼν "Θωμᾶς ὁ δεσπότης φιλεῖ τὸ ἄρχειν διὰ φιλαργυρίαν, ὡς φιλάργυρος ἀδικεῖ, ὡς ἄδικος πλεονεκτεῖ, ὡς πλεονέκτης ἁρπάζει, ὡς ἅρπαξ συκοφαντεῖ, ὡς συκοφάντης λοιδορεῖ, ὡς λοίδορος καταλαλεῖ, ὡς κατάλαλος φοβεῖται, ὡς φοβιτζιάρης φονεύει, ὡς φονεὺς . . . ., πλανᾷ δὲ ὡς πλάνος. τάχα κτίζει καὶ ἐκκλησίας, καὶ ἑορτάζει, καὶ ψυχικὰ ποιεῖ."

Τούτων δὲ οὕτως ἐχόντων, τῷ 6882, ἀπὸ δὲ Χριστοῦ 1374 ἔτει, λοιμὸς θανατηφόρος ἐν τῇ πόλει τῆς Ἄρτης γίνεται, καὶ Πέτρος Λεώσας ὁ δεσπότης ἐξάνωθεν ἐγένετο. καὶ οὕτω παραντίκα Ἰωάννης δεσπότης ὁ Σπάτας ἐκ τοῦ Ἀχελῴου παραγενόμενος τὴν Ἄρταν παραλαμβάνει, ἀνὴρ δραστήριος καὶ τὰ πάντα λαμπρός, ἔργῳ καὶ λόγῳ κοσμούμενος καὶ τῷ κάλλει σεμνυνόμενος· θεωρία γὰρ καὶ πρᾶξις ἦν ἀληθῶς ἐν αὐτῷ. ἀλλὰ καὶ οὗτος κατὰ τῶν Ἰωαννίνων ὁρμώμενος τὸν Θωμᾶν παρηνώχλει καὶ διελῄστριζε, καὶ συνεχῶς αὐτὸν ἐναπέκλειε.

Τοῦ χρόνου δὲ παρελθόντος, ἐπὶ ἔτους 6883, ἀπὸ δὲ Χριστοῦ 1375, λοιμὸς πάλιν δεύτερος θανατηφόρος τῇ τῶν Ἰωαννίνων πόλει γίνεται μέγας, καὶ ἡ θυγάτηρ αὐτοῦ Εἰρήνη τῷ θανάτῳ ὑπέπεσεν. ὁ δὲ δεσπότης Σπάτας οὐκ ἐπαύσατο

